# ΚΟΣΜΑ ΒΕΣΤΙΤΩΡΟΣ

## ΑΝΕΚΔΟΤΑ ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΗΝ ΑΝΑΚΟΜΙΔΗΝ ΤΟΥ ΛΕΙΨΑΝΟΥ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Περὶ τοῦ βίου καὶ τῶν ἔργων τοῦ Κοσμᾶ Βεστίτωρος ἐλαχίστας ἔχομεν εἰδήσεις καὶ ταύτας ὡς τὰ πολλὰ ἐσφαλμένας.[1] Νομίζουσι συνήθως ὅτι ὁ Κοσμᾶς Βεστίτωρ, ἐκτὸς τοῦ ἐγκωμίου εἰς τοὺς δικαίους Ἰωακεὶμ καὶ Ἄνναν, ὅπερ ἔχει ἐκδοθῆ τύποις,[2] ἔχει γράψει ἔτι λόγον ἐγκωμιαστικὸν εἰς τὸν προφήτην Ζαχαρίαν, τὸν πατέρα τοῦ Προδρόμου, καὶ ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου Χρυσοστόμου.[3] Ἐκ τῆς μελέτης ὅμως τῶν καταλόγων τῶν χειρογράφων διαφόρων βιβλιοθηκῶν καί τινων χειρογράφων, περιεχόντων καὶ ἔργα τοῦ Κοσμᾶ τοῦ Βεστίτωρος, προκύπτει ὅτι οὗτος ἔχει γράψει δύο ἐγκωμιαστικοὺς λόγους εἰς τὸν Ζαχαρίαν[4] καὶ πέντε ἐγκώμια εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου

---

[1]) *Cave,* Sript. eccl. hist. Lit. Dis. I σ. 6.—*Ceillier,* Hist. gener. aut. sacr. et eccl. XIX σ. 558-9.—*Fabricius—Harles,* VII. 457 X 221. 255. 344.—*Lalong,* Bibl. sacr. II 687.—*Oudin,* De script. eccl. II 400 πρβλ. καὶ *Migne,* Patr. gr. 106 σ. 1003 *Κρουμβάχερ—Σωτηριάδου,* Ἱστ. βυζ. λογοτ. τόμ. Α΄ σ. 337.

[2]) Ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ *Ballerini,* Sylloge monumentorum 2, 660-685. (Ἐν Ρώμῃ 1856) ἀνετυπώθη δὲ παρὰ Migne Patr. gr. 106, 1005—1012. Τὸ ἐγκώμιον τοῦτο, ὅπερ ἀναφέρει καὶ ὁ Φαβρίκιος (*Fabricius-Harles*, X. 255), εὕρηται ἐν πλείστοις χειρογράφοις. Οὕτω, ἵνα μὴ ἀναφέρω πάντα, ἐν κώδικι Ἀθηνῶν 217 (φ. 163α), Ζαγορᾶς 13 (φ. 61α), 16 (φ. 53α), Laud. XXXIII, 82 (πρβλ. κατάλ. *Coxe*) Bord. (πρβλ. κατάλ. Κυρίλλου τόμ. Α΄ σ. 127) καὶ ἐν πολλοῖς τοῦ ἁγ. Ὄρους (πρβλ. κατάλ. Σ. Λάμπρου). Καὶ ὁ Συναξαριστὴς δὲ σημειοῖ (σ. 27 ἐκδ. 1868) «Εἰς τὴν σημερινὴν μνήμην τῶν ἁγίων Θεοπατόρων ἐγκώμιον ἔχει Κοσμᾶς ὁ Βεστίτωρ, οὗ ἡ ἀρχὴ «Ἡ χθὲς τῆς Θεοτόκου» σώζεται ἐν τῇ μονῇ Λαύρας, Βατοπαιδίου, Ἰβήρων καὶ Διονυσίου»,

[3]) Πρβλ. τὴν ἀνωτέρω ἐν σημ. 1. παρατεθεῖσαν φιλολογίαν. Ἐν τῷ καταλόγῳ τοῦ *Coxe* (in Misc. VII, 1) ἀναφέρεται τοῦ Κοσμᾶ Βεστίτωρος «Canon in Theophania», ἀποδίδεται δὲ ὑπό τινων τῷ ἡμετέρῳ Κοσμᾷ καὶ λόγος εἰς τὰ Θεοφάνεια (πρβλ. ἰδίᾳ Oudin ἔν. ἀν.), ὃν ὅμως δὲν εὑρίσκομεν ἐν τοῖς καταλόγοις τῶν χειρογράφων οὐδ' ἄλλως πως μαρτυρούμενον.

[4]) Ἐν κώδικι 16 τῆς βιβλιοθήκης Ζαγορᾶς εὕρηται «Λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἅγιον προφήτην Ζαχαρίαν, τὸν πατέρα τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου» (φ. 1α) καὶ «Λόγος δεύτερος εἰς τὸν ἅγιον προφήτην Ζαχαρίαν» (φ. 5β). Καὶ ὁ Συναξαριστὴς παρατηρεῖ (ἔν. ἀν. σ. 18) «Σημείωσαι ὅτι εἰς τὸν ἅγιον τοῦτον Ζαχαρίαν λόγον πανηγυρικὸν ἔχει Κοσμᾶς Βεστίτωρ σωζόμενον ἐν τῇ μεγίστῃ Λαύρᾳ, ἐν τῇ μονῇ τοῦ Παντοκράτορος καὶ ἐν τῇ τοῦ Διονυσίου, οὗ ἡ ἀρχὴ «Ὡς χρυσοῦν θυμιατήριον». Ὁ αὐτὸς

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου, ἐκτὸς τῆς βιογραφίας τοῦ αὐτοῦ[1]).

Ἐν τῷ ὑπ' ἀριθμὸν 231 χειρογράφῳ τῆς ἐν Ἀθήναις ἐθνικῆς βιβλιοθήκης ἀπὸ φύλλου 360α—379β εὑρίσκομεν τὰ πέντε ἐγκώμια τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου ὡς ἀκολούθως·

1. (φ. 360α—362β) «*Κοσμᾶ Βεστῆρος ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Εὐλόγησον πάτερ*».

Ἀρχ. *Δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν*

2. (φ. 362β—367α) «*Τοῦ αὐτοῦ Κοσμᾶ Βεστῆρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἱεροῦ καὶ θείου Ἰωάννου τοῦ Χρυσοστόμου. Ἐγκώμιον δεύτερον. Εὐλόγησον πάτερ*».

Ἀρχ. *Πάλιν ὁ Χρυσόστομος εἰς μνήμην δικαιοσύνης ἑτοιμότατος καὶ πάλιν ἐγὼ προπετὴς*

3. (φ. 367α—370β) «*Κοσμᾶ Βεστῆρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἱεροῦ καὶ θείου Ἰωάννου τοῦ Χρυσοστόμου. Εὐλόγησον πάτερ*».

Ἀρχ. *Σήμερον ἡ τοῦ ὀνειδισθέντος διὰ Χριστὸν παγκόσμιος ἐπιτελεῖται πανήγυρις*

4. (φ. 370β—376β) «*Κοσμᾶ Βεστῆρος ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ ἐν ἁγίοις πατρὸς Ἰωάννου τοῦ Χρυσοστόμου καὶ περὶ τοῦ ἀπολογητικοῦ τοῦ βασιλέως ἐκ προσώπου τῆς ἑαυτοῦ μητρὸς καὶ παντὸς τοῦ πλή-*

---

εἰς τὸν αὐτόν, οὗ ἡ ἀρχὴ «Μύστα τῶν ἀρρήτων ἱερουργημάτων»· σώζεται ἐν τῇ μονῇ τοῦ Διονυσίου, Βατοπαιδίου, Ἰβήρων καὶ Λαύρας». Τὸν τελευταῖον τοῦτον, ὃν ἀναφέρει καὶ ὁ Φαβρίκιος (ἔνθ' ἀν. X, 344) εὑρίσκομεν καὶ ἐν πολλοῖς ἄλλοις κώδιξι (πρβλ. τὴν ἀνωτέρω παρατεθεῖσαν φιλολογίαν καὶ ἔτι κώδικα ὑπ' ἀριθμὸν 13 τῆς Μυτιλήνης (Μαυρογ. βιβλ. παραρ. τοῦ ΙΕ' τόμ. τοῦ φιλ. συλ. Κωνσταντ.) καὶ Baroc. CCXXXIV 1 (πρβλ. κατάλ. Coxe). Ἐν κώδικι 60,1 τῶν Ἱεροσολύμων εὕρηται «Κοσμᾶ Βεστίτωρος λόγος ἐγκωμιαστικὸς Ζαχαρίου οὗ ἡ ἀρχὴ «Ποῦ τὸν πρὸ τούτου λόγον» (*Παπαδοπούλου Κεραμέως*, Ἱεροσολ. βιβλ. τόμ. Β'). Ἐὰν ἡ ἀνωτέρω μαρτυρία εἶνε ἀκριβής, τότε πρέπει νὰ δεχθῶμεν ὅτι ὁ Κοσμᾶς Βεστίτωρ εἶχε γράψει τρεῖς ἐγκωμιαστικοὺς λόγους εἰς τὸν Ζαχαρίαν, τὸν πατέρα τοῦ Προδρόμου.

[1]) Ἡ βιογραφία αὕτη, ἥτις εἶνε διάφορος τῶν ἐγκωμίων εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου, περιέχεται ἐκτὸς τοῦ κώδικος Par. gr. 1454 (φ. 168—171, (*Κρουμβάχερ-Σωτηριάδου*, Ἱστ. βυζ. λογ. τόμ. Α' σ. 337) καὶ τοῦ Ἀθηναϊκοῦ 226 (ἐν τέλει) (*Chr. Baur*, S. Jean Ghrysostome et ses oeuvres dans l'hist. Litt. σ. 52) ἐν Escur. Y-11-6 (πρβλ. κατάλ. Miller σ. 273) Ζαγορᾶς 16 (φ. 172α) Ἄθωνος 3762, ιγ' (πρβλ. κατάλ. *Σ. Λάμπρου*), καὶ ἐν ἄλλοις. Ἐν τῷ Ἀθηναϊκῷ 226 ἄρχεται ἀπὸ τοῦ φύλλου 402α καὶ μένει κολοβός, φέρει δὲ τὴν ἐπιγραφὴν «Βίος καὶ πολιτεία καὶ ἀγὼν καὶ μετάστασις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως». Τὴν βιογραφίαν ταύτην τοῦ Κοσμᾶ Βεστίτωρος ἔχουσαν ἀρκοῦσαν ἀξίαν θέλω δημοσιεύσει προσεχῶς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

*θους τοῦ λαοῦ τῆς πρὸς θεὸν καὶ τὸν ἅγιον ἐκτελείσθης δοξολογίας· Εὐλόγησον πάτερ».*

Ἀρχ. *Ἤκουσται πάντως ὑμῖν, ὦ φιλόπιστος πανήγυρις καὶ φιλάγιον ἄθροισμα τὰ μεγαλεῖα τοῦ Θεοῦ*

5. (φ. 376β—379β) *«Τοῦ αὐτοῦ Κοσμᾶ Βεστῆρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ θείου καὶ ἱεροῦ Ἰωάννου τοῦ Χρυσοστόμου. Εὐλόγησον πάτερ».*

Ἀρχ. *Τίς τὸν ἄμετρον τῶν ἐγκωμίων ὑετὸν τοῦ ἁγίου καὶ διδασκαλικοῦ πατρὸς ἡμῶν Χρυσοστόμου δυνατὸς ἐξαντλῆσαι*

Ὅτι ὁ Κοσμᾶς ὁ Βεστίτωρ ἔχει γράψει πέντε ἐγκώμια εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου καὶ ἡ χρονολογικὴ σειρὰ αὐτῶν εἶνε ἡ ἐν τῷ ἡμετέρῳ κώδικι ὑπάρχουσα γίνεται δῆλον ἐξ αὐτῶν τῶν ἐγκωμίων καὶ δὴ τοῦ τετάρτου καὶ πέμπτου. Ἐν τῷ τετάρτῳ ἐγκωμίῳ ἀναγιγνώσκομεν «ἥκω γὰρ ὑμῖν φέρων καὶ τὸν τέταρτον τοῦτον λόγον τῆς μεταθέσεως τοῦ ἁγίου», ἐν δὲ τῷ πέμπτῳ «καὶ γὰρ τέτρασιν, ὡς εἰπεῖν, βολιστικῶν ἀποτόνοις τὸν βυθὸν τῶν ἐπαίνων αὐτοῦ συγγραφικῶς μεμετρηκότες τὸ ἐπάξιον αὐτῷ δῶρον προσενεγκεῖν διὰ τῶν λόγων οὐ κατελάβομεν». Ἐκ τῶν ἀνωτέρω γίνεται ὀφθαλμοφανῶς δῆλον ὅτι ὁ Κοσμᾶς Βεστίτωρ ἔχει γράψει πέντε ἐγκώμια εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου, ὧν τὸ τέταρτον καὶ τὸ πέμπτον εἶνε τὰ τὴν τετάρτην καὶ πέμπτην τάξιν κατέχοντα ἐν τῷ ἡμετέρῳ χειρογράφῳ. Ἐκ τῶν ὑπολειπομένων τριῶν τὸ δεύτερον οὐ μόνον ὡς φέρον ἐν τῇ ἐπιγραφῇ τοῦ ἡμετέρου κώδικος τὸ «ἐγκώμιον δεύτερον», ἀλλὰ καὶ ὡς ἀρχόμενον διὰ τοῦ «Πάλιν ὁ Χρυσόστομος εἰς μνήμην δικαιοσύνης ἑτοιμότατος καὶ πάλιν ἐγὼ προπετὴς τῶν ἐγκωμίων αὐτοῦ διηγητὴς» προϋποθέτει ἕτερον ἐγκώμιον τοῦ Κοσμᾶ Βεστίτωρος, ὅπερ ἀναμφιβόλως εἶνε τὸ πρῶτον τοῦ ἡμετέρου κώδικος ὡς ἐκ τῆς ἀρχῆς καὶ τοῦ περιεχομένου αὐτοῦ δείκνυται. Κατὰ ταῦτα ἡ ἐν τῷ ἡμετέρῳ κώδικι σειρὰ τῶν ἐγκωμίων εἶνε χρονολογική.

Ἀξία προσοχῆς εἶνε ἐνταῦθα ἡ ἀκόλουθος παρατήρησις τοῦ Συναξαριστοῦ (ἔν. ἀν. σ. 418)· «Σημείωσαι ὅτι Κοσμᾶς ὁ Βεστίτωρ ἐγκώμια δύο ἔχει εἰς τὴν ἐπάνοδον τοῦ λειψάνου τοῦ θείου Χρυσοστόμου, ὧν τοῦ μὲν ἑνὸς ἡ ἀρχὴ ἐστιν αὕτη «Ἧκεν ἡμῖν ἡ λαμπρὰ καὶ χαρμόσυνος» τοῦ δὲ ἑτέρου αὕτη «Ἀλλὰ πῶς ἄν τις αἰτίας καὶ μώμων». Σῴζονται ἐν τῇ μεγίστῃ Λαύρᾳ, ἐν τῷ κοινοβίῳ τοῦ Διονυσίου καὶ ἐν τῇ μονῇ τῶν Ἰβήρων. Ἐν δὲ τῇ μεγίστῃ Λαύρᾳ σῴζονται προσέτι καὶ ἄλλοι δύο λόγοι εἰς τὴν αὐτὴν ἑορτήν, ὧν τοῦ μὲν ἡ ἀρχή ἐστιν αὕτη «Δεῦτε ἀκούσατε καὶ διη-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

γήσομαι ὑμῖν», τοῦ δὲ ἑτέρου αὕτη «Ἤκουσται πάντως ὑμῖν, ὦ φιλόχριστος πανήγυρις».

Εἶνε φανερὸν ὅτι τὰ δύο τελευταῖα ἐγκώμια εἶνε τοῦ Κοσμᾶ τοῦ Βεστίτωρος (τὰ ὑπ' ἀριθμὸν 1 καὶ 4 τοῦ ἡμετέρου χειρογράφου), τὰ δὲ δύο πρῶτα, ἅτινα ἀποδίδονται ὑπὸ τοῦ Συναξαριστοῦ εἰς τὸν Κοσμᾶν τὸν Βεστίτωρα εἶνε γνωστὰ καὶ ἐξ ἄλλων χειρογράφων ἐγκώμια ἀγνώστων συγγραφέων.[1] Τὸ σφάλμα τῆς ἀνωτέρω παρατηρήσεως τοῦ Συναξαριστοῦ δύναται ἄριστα νὰ ἐξηγηθῇ, ἐὰν δεχθῶμεν ὅτι οὗτος γράφων τὴν ἀνωτέρω παρατήρησιν συνέχυσε τὰς σημειώσεις του οὕτως ὥστε τὰ δύο ἀνώνυμα ἐγκώμια ἀπέδωκεν εἰς τὸν Κοσμᾶν τὸν Βεστίτωρα καὶ τὰ δύο τοῦ Βεστίτωρος εἰς ἀνωνύμους.

Ἐκ τῶν ἀνωτέρω πέντε ἐγκωμίων τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου τὸ τέταρτον μόνον, τὸ ἀρχόμενον «Ἤκουσται πάντως ὑμῖν, ὦ φιλόπιστος πανήγυρις» εὕρηται ἐν πλείστοις χειρογράφοις. Οὕτω, ἵνα μὴ ἀναφέρω πάντα, ἐν τῷ ὑπ' ἀριθμὸν 305 (φ. 110α) καὶ 422 (φ. 256α) τῶν Ἀθηνῶν, ἐν τῷ ὑπ' ἀριθμὸν 600 (φ. 122) τῆς βιβλιοθήκης τῶν Παρισίων, καὶ ἐν τῷ ὑπ' ἀριθμὸν 807 (φ. 117) τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ. Ἐντεῦθεν ἐξηγεῖται τὸ ὅτι οἱ περὶ τὸν Κοσμᾶν Βεστίτωρα ἀσχοληθέντες ἀναφέρουσιν ὅτι οὗτος συνέταξεν ἓν ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου, ὅπερ ἄρχεται διὰ τοῦ «Ἤκουσται πάντως ὑμῖν, ὦ φιλόπιστος πανήγυρις».[2] Εἰς τὴν ἀπάτην ταύτην ἀναμφιβόλως συνήργησε καὶ τὸ ὅτι μικρὸν

[1]) Τὸ πρῶτον τούτων, οὗ ἡ ἀρχὴ «Ἧκεν ἡμῖν ἡ λαμπρὰ καὶ χαρμόσυνος» εὕρηται ἐν κώδικι Ἀθηνῶν 217 (φ. 694) Μυτιλήνης 24 (πρβλ. *Παπαδοπούλου Κεραμέως*, Μαυρογορδάτειος βιβλιοθήκη σ. 41) Χάλκης 10 (φύλ. 289) καὶ Par. gr. 307 (φ. 216), τὸ δὲ δεύτερον, οὗ ἡ ἀρχὴ «Ἀλλὰ πῶς ἄν τις αἰτίας μώμων» ἐν πολλοῖς χειρογράφοις καὶ μηνολογίοις τοῦ Ἰανουαρίου ἀνωνύμως. Ἄξιον σημειώσεως εἶνε ἐνταῦθα ὅτι ἐν κώδικι 20 τῆς μονῆς Φιλοθέου τοῦ Ἄθωνος, ἔνθα εὕρηται τὸ κείμενον τοῦτο, σημειοῦται «Ἐκ τῆς Μεταφράσεως», ἐν δὲ τῷ κώδικι 231 Ἀθηνῶν (φ. 354β) φέρει τὴν ἐπιγραφὴν «Ὑπόμνημα τύπον ἱστορίας κεφαλαιώδους ἐπέχον ἐπὶ τῇ ἀνακομιδῇ τοῦ λειψάνου τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου» καὶ ἐν τῷ κώδικι 1053 Ἀθηνῶν (φ. 198α) τὴν ἐπιγραφὴν «Ὑπόμνημα τύπον ἱστορίας κεφαλαιώδους ἐπέχον ἐπὶ τῇ ἀνακομιδῇ τοῦ τιμίου λειψάνου τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου». Τὸ ὑπόμνημα τοῦτο ἔχει πολλὴν ὁμοιότητα πρὸς τὴν βιογραφίαν τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου τοῦ *Συμεὼν τοῦ Μεταφραστοῦ* (Patr. gr. Migne 114,1045—1209), τοῦτο δὲ πιθανῶς δηλοῖ καὶ ἡ σημείωσις τοῦ κώδικος Φιλοθέου «Ἐκ τῆς Μεταφράσεως».

[2]) Πρβλ. τὴν σχετικὴν φιλολογίαν καὶ *Ch. Baur,* Ἔνθ' ἀν. σ 53. Ἄξιον σημειώσεως εἶνε ἐνταῦθα ὅτι ἐν τῇ βιβλιοθήκῃ τῶν Ἱεροσολύμων ἐν τοῖς ἀκολούθοις μόνον πέντε κώδιξι εὕρηνται ἐγκώμια τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου· 18,18, (πρβλ. *Παπαδοπούλου Κεραμέως*, Ἱερ. βιβλ. τόμ. Α') 219, 16 (ἔν. ἀν. τόμ. Β') 17, 16. 35, 65 καὶ 41, 16 (ἔν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ἀπόσπασμα ἐκ τοῦ ἐγκωμίου τούτου ἔχει ἐκδοθῆ παρὰ Migne (Patr. gr. 65,825[1]).

Τὰ πέντε ἐγκώμια τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου ἔχουσιν ἀρκοῦσαν ἀξίαν οὐχὶ βεβαίως ἐξ ἀπόψεως ἱστορικῆς διὰ τὰς περιεχομένας ἐν αὐτοῖς περὶ τοῦ Χρυσοστόμου εἰδήσεις, ὧν αἱ πλεῖσται εἶνε καὶ ἄλλοθεν γνωσταί, ἀλλ' ἐξ ἀπόψεως θεολογικοφιλολογικῆς, διὰ τὸ γλαφυρὸν τῆς γλώσσης καὶ τὸ ῥητορικὸν τοῦ ὕφους. Ἐκ τῆς τελευταίας ταύτης ἀπόψεως τὰ πέντε ἐγκώμια τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Χρυσοστόμου δὲν ὑπολείπονται βεβαίως ἄλλων ἐκδεδομένων ἐγκωμίων καὶ λόγων γνωστῶν συγχρόνων συγγραφέων. Τούτου ἕνεκεν θεωρῶ ἀναγκαίαν τὴν ἔκδοσιν τῶν ἐγκωμίων τούτων τοσούτῳ μᾶλλον, καθόσον δι' αὐτῆς καθίσταται γνωστὴ ἄγνωστός τις σχεδὸν μέχρι τοῦδε προσωπικότης, ἥτις ἀξίζει νὰ γνωσθῇ καὶ καταλάβῃ τὴν προσήκουσαν θέσιν μεταξὺ τῶν συγχρόνων αὐτῆς λογίων, μεταξὺ τῶν ὁποίων ἀναμφιβόλως διεκρίνετο.

Πότε ἀκριβῶς ἤκμασεν ὁ ἡμέτερος Κοσμᾶς δὲν εἶνε γνωστόν. Ἡ γνώμη ὅτι οὗτος ἤκμασεν ἐπὶ τοῦ Λέοντος τοῦ σοφοῦ εἶνε αὐθαίρετος, ὡς στηριζομένη ἐπὶ ἐσφαλμένης βάσεως. Κατὰ τοὺς δεχομένους τὴν γνώμην ταύτην, ὁ πίναξ τῶν γραψάντων βιογραφίας τοῦ Χρυσοστόμου, ὁ περιεχόμενος ἐν τῇ τοῦ Ἀνωνύμου βιογραφίᾳ τοῦ Χρυσοστόμου, τῇ ἐκδοθείσῃ τὸ πρῶτον ὑπὸ τοῦ Savile[2]) εἶνε χρονολογικός. Ἐν τῷ πίνακι ὅμως τούτῳ, τῷ περιέχοντι 20 βιογραφίας τοῦ Χρυσοστόμου, τὴν 14 θέσιν κατέχει ἡ τοῦ Κοσμᾶ τοῦ Βεστίτωρος καὶ τὴν 15 ἡ τοῦ αὐτοκράτορος Λέοντος τοῦ σοφοῦ. Κατὰ ταῦτα ὁ Κοσμᾶς ἤκμασεν ἐπὶ τοῦ Λέοντος καὶ μιμηθεὶς τὸν αὐτοκράτορα ἔγραψε καὶ αὐτὸς ἐγκώμια εἰς τὸν Χρυσόστομον. Ἡ γνώμη ὅμως αὕτη εἶνε αὐθαίρετος ὡς στηριζομένη ἐπὶ τῆς ἰδέας ὅτι ὁ πίναξ τῶν γραψάντων βιογραφίας τοῦ Χρυσοστόμου, ὁ περιεχόμενος ἐν τῇ τοῦ Ἀνωνύμου βιογραφίᾳ τοῦ Χρυσοστόμου, εἶνε χρονολογικός, ἐν ᾧ ὀφθαλμοφανῶς δὲν εἶνε τοιοῦτος.[3]) Ὁ χρόνος τῆς ἀκμῆς τοῦ Κοσμᾶ Βεστίτωρος ἠδύνατο νὰ προσδιορισθῇ ἀσφαλέστερον οὕτως. Ἀφοῦ ἔργα τοῦ Κοσμᾶ Βεστίτωρος εὑρίσκομεν ἐν χειρογράφοις τοῦ δεκάτου αἰῶνος, ὁ Κοσμᾶς θὰ ἤκμασε πρὸ τοῦ δεκάτου αἰῶνος, ἀφοῦ δὲ ἐν τῷ δευτέρῳ ἐγκωμίῳ εἰς τὴν ἀνακομιδὴν τοῦ

---

ἀν. τόμ. Γ'). Καὶ τὰ πέντε ταῦτα ἐγκώμια εἶνε τὸ τέταρτον τοῦ ἡμετέρου κώδικος, τὸ ἀρχόμενον «Ἤκουσται πάντως ὑμῖν».

[1]) Πρβλ. *Κρουμβάχερ - Σωτηριάδου*. Ἔνθ' ἀν. Α' σ. 337.

[2]) *Christ.* op. omn. τόμ. VIII, 293. ἑ.

[3]) Πρβλ. *Migne*, Patr gr. 106 σ. 1003 ὑποσ. καὶ *Baur*, Ἔνθ. ἀν. σ. 37 ὑποσ. 1.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

λειψάνου τοῦ Χρυσοστόμου ἀναφέρει τὸν Νέον Παράδεισον, «Ταύτην τὴν ὀπτασίαν ὁ φιλομαθὴς κειμένην εὕροι ἐν τῇ τοῦ νέου παραδείσου βίβλῳ», δηλαδὴ τὸ Λειμωνάριον τοῦ Ἰωάννου Μόσχου (Migne, Patr. gr. 87,2992), τοῦ ἀποθανόντος κατὰ τὰς ἀρχὰς τοῦ ἑβδόμου αἰῶνος, θὰ ἤκμασε μετὰ τὸν ἕκτον αἰῶνα. Οὕτω δυνάμεθα νὰ περιορίσωμεν ἀσφαλῶς τὸν χρόνον τῆς ἀκμῆς τοῦ Κοσμᾶ τοῦ Βεστίτωρος μεταξὺ τοῦ ἑβδόμου καὶ ἐνάτου αἰῶνος.

Ἡ ἔκδοσις τῶν πέντε ἐγκωμίων τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου γίνεται ἐκ τοῦ ὑπ' ἀριθμὸν 231 κώδικος τῆς ἐθνικῆς βιβλιοθήκης Ἀθηνῶν, ἐν τῷ ὁποίῳ ἔχουσιν ἀντιγραφῆ ταῦτα ὑπὸ πεπειραμένου ἀντιγραφέως μετὰ ἐπιμελείας καὶ προσοχῆς, ὡς ἔπεισέ με ἡ προσεκτικὴ ἀνάγνωσις τοῦ κειμένου καὶ ἡ ἀντιβολὴ αὐτοῦ πρὸς τὰ κείμενα ἄλλων κωδίκων, καὶ δὴ τοῦ τετάρτου ἐγκωμίου πρὸς τὰ κείμενα τῶν ὑπ' ἀριθμὸν 305 (φ. 110α) καὶ 422 (φ. 256α) κωδίκων τῆς ἐθνικῆς βιβλιοθήκης Ἀθηνῶν. Οὕτως ἐχόντων τῶν πραγμάτων ἐλάχισται διορθώσεις τοῦ κειμένου ἦσαν ἀναγκαῖαι, ἅστινας ἐνόμισα περιττὸν νὰ ἀναφέρω.

Φυλ. 360α—362β

† *Κοσμᾶ Βεστίτωρος ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Εὐλόγησον πάτερ :*

Δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν θεόν, ὅσαπερ αὐτὸς ὁ θεὸς μετὰ τῆς ψυχῆς τοῦ πατρὸς ἡμῶν πεποίηκε Χρυσοστόμου· πρὸς αὐτὸν γάρ, ὡς γέγραπται, διαφόρως τῷ στόματι κέκραγε καὶ ὕψωσε μέχρις οὐρανῶν τὴν γλῶσσαν, τὴν ἀδικίαν τῶν ἀνομησάντων εἰς αὐτὸν τῷ θεῷ πιστῶς ἀποδόμενος. Ὅθεν καὶ φωνὴ πρὸς αὐτὸν τοῦ Χριστοῦ μυστικῶς κατηνέχθη λέγουσα· ἄφες ἄρτι τὴν Κόμαναν, Χρυσόστομε, ἄφες μαργαρίτα τῆς οἰκουμενικῆς ἐκκλησίας τὸν ξένον σε μέχρι τοῦ νῦν ἀγρὸν κατακρύπτοντα. Καιρὸς λοιπὸν πληρῶσαί με πᾶσαν ἐπί σοι δικαιοσύνης ὑπομονήν. Πέφθακεν ὁ καιρὸς τοῦ οἰκτειρῆσαί με τὴν ἀδολεσχίαν τῶν ζητούντων σε. Εὐδόκησα τούτοις δοῦναι τὸ σῶμά σου, ἀλλ' ἀναστὰς πορεύου πρὸς τὰ ἴδια, κατάλιπε τὸν ἀλλότριον τῆς ταφῆς σου συγκλεισμόν, ἀνάβηθι πρὸς τὸν σὸν θρόνον. Εὖ σοι δοῦλε πιστὲ καὶ ἀγαθὲ εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Ἄγγελοι προπορεύονται τῆς ὁδοῦ σου, θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου, τουτέστιν αἱ τῶν ἁγίων μου κατὰ χώρας, ἃς μέλλεις διέρχεσθαι διδακτικοῖς ἐν ὕμνοις, ἐκκλησίαι, αἵτινες ὡς ἐν ἱματισμῷ χρυσῷ τῷ σῷ τῆς διδαχῆς περιβεβλημέναι κεκόσμηνται ποικιλώματι.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

Τούτων ὡς σάλπιγγος ἀναστάσεως ἀκούσας ὁ πατὴρ ᾐσθάνθη καθώς τις Λάζαρος ἄλλος ὑπνῶν ἐπὶ κοίτης. Καὶ ἰδοὺ ἅρμα Ἡλιοῦ τοῦτον ὑπεδέξατο οὐκ ἐν συσεισμῷ ἀλλ' ἐν πραότητι τῷ ἁγίῳ παρασταθέν, οὐχ ὡς εἰς τὸν οὐρανὸν πεταζόμενον, ἀλλ' ἐξ ὁμαλοῦ γῆς διασῶζον τὸν ὅσιον, οὐκ ἐν πυρίνοις δρομηλασίαις, ἀλλ' ἐξ ὕμνων καὶ δακρύων ἐξάλμασιν, οὐκ ἐν μηλωτῇ δερματίνῃ συναρπαγέντα, ἀλλ' ἐν θήκῃ περιηργυρωμένῃ δορυφορούμενον. Ἔχαιρον οἱ Κωνσταντινουπόλεως λαοὶ τοῦτον περιμένοντες, ἔκλαιον οἱ Κομάνης ὄχλοι τοῦτον ζημιούμενοι καὶ οὐκ ἤθελον παρακληθῆναι ὅτι κατὰ τὸ λεγόμενον τὸ ἴσον ἄλυπον. Ἐκπορευομένου γὰρ τοῦ δικαίου ἐδάκρυεν ἡ βασιλεύουσα πόλις καὶ ἔκλαιε βάλλουσα τῆς ὀρφανίας τὰ δάκρυα, ἐχάρη δὲ πάλιν ἐπανερχομένου τοῦ πατρὸς αἴρουσα ἐν ἀγαλλιάσει τούτου τὸ λείψανον, ὥσπερ καὶ ἐξ ἀντιστρόφου καὶ ἡ Κόμανα περὶ αὐτοῦ χαρὰν καὶ καὶ λύπην ὑπέστη. Τίς γὰρ τοῦτον ἰδὼν ἐξελαυνόμενον τοῦ οἰκείου θρόνου μὴ τεθρήνηκεν ἐπὶ τούτῳ στενάξας; ἢ τίς ἑωρακὼς αὐτὸν ἐπαναλύοντα σήμερον εἰς τὰ ἴδια, οὐκ εὐφράνθη βοήσας ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν ἀποικίαν τοῦ Χρυσοστόμου ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι, ἐμεγάλυνεν ὡς ἀληθῶς ὁ Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι; Πεπλήρωται χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως ὅτιπερ ἐπέστρεψε Κύριος τὸν χειμάρρουν τῆς τρυφῆς ἡμῶν, τὴν νηφάλιον μέθην τῆς κοσμικῆς ἀπολαύσεως. Εἶπον καὶ οἱ πένητες· πεπλουτήκαμεν τὸν ἑαυτῶν θησαυρὸν ἀπολαβόντες, ἐχορτάσθημεν ἐν τῷ ὀφθῆναι πᾶσιν ἡμῖν τὸν ἀπαρχῆθεν τροφέα, ἀπεσώθη σήμερον ἐν ἡμῖν ὁ ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος, ὁ χρηστὸς καὶ συμπαθὴς ἀνήρ, ὁ ἀκριβῶς οἰκτίρμων καὶ κιχρῶν καὶ οἰκονομῶν ἐν κρίσει τοὺς λόγους αὐτοῦ· σκορπίσας γὰρ ἔδωκε τὰ περὶ ἡμῶν ἐγγράφως τοῖς πλουσίοις παραινέσεις καταλείψας καὶ ἡμῖν κληρονομίαν ἀδάπανον, τὰς περὶ ἐλεημοσύνης αὐτοῦ βίβλους, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Σὺν τούτοις καὶ πᾶς ὁ λαὸς μιᾷ πρὸς αὐτὸν ἀνεβόησε φωνῇ· ἱνατί, πάτερ, ἀφέστηκας μακρόθεν, εἰ μὴ ὅτι Κύριος ἐβοήθησεν ἡμῖν ἐν τῇ παρουσίᾳ σου σήμερον; Παρὰ βραχὺ παρῴκησαν τῷ ᾅδῃ κατὰ ἀπόγνωσιν αἱ ψυχαὶ ἡμῶν, ἀλλὰ πεπιστεύκαμεν ὅτι κἂν πολλαὶ τῶν δικαίων αἱ θλίψεις, ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος, ὁ δοκιμάσας ἐναντιολογίᾳ κατηγόρων τὴν πίστιν σου, ὁ σκεπάσας ἐν ἀποκρύφῳ τῆς ἐξορίας τὸ σῶμά σου. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή σου, ἀλλ' οὐκ εὐφράνθη φαντασμὸς ἐχθρῶν ἐπί σοι. Συνυπέμεινας συλλυπούμενος διὰ παντὸς καὶ οὐδείς σοι συνεκαρτέρησε λυπουμένῳ. Ἀντελάβου πολλῶν ἐν παρακλήσει καὶ οὐχ' εὗρες παρακαλοῦντας ἐν ἡμέρᾳ πονηρᾷ. Ἐπυρώθης ὡς τὸ ἀργύριον καὶ οὐχ εὑρέθη ἀδικία ἔν σοι. Εἰσῆλθες εἰς

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

τὴν παγίδα τοῦ βίου καὶ ἐρρύσθη καθάπερ στρουθίον ἡ ψυχή σου. Ἐτέθη θλίψις ἐπὶ τὸν νῶτόν σου ἱππηλατεῖν ἀσυνήθως βιαζομένου. Ἐπεβιβάσθησαν φύλακες ἐπὶ τὴν κεφαλήν σου κατασκοποῦντες πότε βαρυθεὶς ὑπνώσεις εἰς θάνατον. Διῆλθες διὰ ξηρᾶς καὶ ὕδατος καὶ ἐξηνέχθης εἰς ἀναψυχὴν πνεύματος. Εἰσῆλθες μετὰ χρόνους ἐν ὁλοκαυτώμασιν εἰς τὰ ἴδια, ἀπέδωκας ἐν σιωπῇ τὰς εὐχάς σου τῷ Κυρίῳ. Ὁ δὲ Κύριος ἅπερ ἐλάλησε τὸ στόμα σου ἐν τῇ θλίψει σου καὶ διέστειλε τὰ χείλη σου διωχθέντος ἐδικαίωσεν ἀποπληρώσας ἐπί σοι· οὐ γὰρ ὠλιγώρησας ἐν παιδείᾳ Κυρίου κατορθούμενος, οὐκ εἶπας ἐν καρδίᾳ σου δεδικαίωμαι καὶ τί πάσχω, οὐχ ἥμαρτον, Κύριε, σὺ ἔγνως, ἱνατὶ ἀπώσω με καὶ ἱνατὶ σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν με τὸν ἐχθρὸν ἐν ἐξορίᾳ, ἀλλ' εἴρηκας ἀντὶ τούτων· ὡς ὁ Ἰώβ· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. Ὅταν οὖν ἡ ὑπερέχουσα πάντα νοῦν βουλὴ τοῦ θεοῦ τῷ ἰδίῳ τὸν Χρυσόστομον εὐδόκησεν ἐπαναπαυθῆναι θρόνῳ, τότε δὴ τότε τῆς σωματικῆς αὐτοῦ καὶ σεπτῆς ἀνακομιζομένης κιβωτοῦ ἔπεσε Δαγὼν ὁ Ἀζώτος, τουτέστιν ὁ ἰσχυρὸς καὶ πυργενὴς διάβολος· Δαγὼν γὰρ ἑρμηνεύεται ὁ ἰσχυρός, Ἀζώτιος λέγεται πυρσοβολία, περὶ οὗ καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις ἐπίστωσεν εἰπών· οὐδεὶς δύναται τὰ σκεύη τοῦ πονηροῦ διαρπάσαι, εἰ μὴ πρῶτον δέσει τὸν ἰσχυρόν. Ὁ αὐτὸς δὲ καὶ ἐν τῷ Ἰὼβ φησιν· ἐν τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις. Καὶ περὶ δὲ τοῦ πυρὸς ἐν μὲν τῷ Εὐαγγελίῳ γέγραπται· εἶδον τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ, ἐν δὲ τῷ Ἰὼβ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι καὶ διαρριπτοῦνται ἐσχάραι πυρός, ἐκ δὲ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καὶ ἡ ψυχὴ αὐτοῦ ἄνθρακες καὶ φλὸξ ἐκ τοῦ στόματος αὐτοῦ. Τούτου δὴ τοῦ Δαγὼν καὶ Ἀζωτίου διαβόλου ὡς ἐν τῇ τῆς διαθήκης πάλαι κιβωτῷ, οὕτως καὶ ἐν τῇ σαρκὶ ὡς κατοικιζομένῃ τοῦ Χρυσοστόμου κιβωτῷ τῆς ἰσχυρᾶς ἀποπεπτωκότος ἐλπίδος τοῦ ἰσχυροῦ, ἐπλήγησαν αἱ γνῶμαι τῶν φαυλισάντων ἁρπάγων, ᾐσχύνθησαν τὰ ἀσχήμονα χείλη τῶν αἱρετικῶν καὶ ἀπεσώθη τῇ Κωνσταντινουπόλει τὸ λείψανον τῆς τοῦ Χρυσοστόμου σκηνῆς. Καὶ τῇ μὲν ἰσραηλιτικῇ κιβωτῷ χρυσοῦ καρποφορία καὶ ζεῦγος βοῶν σὺν καὶ ἁμάξῃ φόβῳ καθυπηρέτησαν ἀναδιδομένῃ, τῇ δὲ τοῦ πατρὸς ἡμῶν ἐνσάρκῳ κιβωτῷ ἅμαξαι πολλαὶ καὶ βόες περισσοί, ἅρματα λογικὰ καὶ νουνεχεῖς ἵπποι καὶ ἔμφρονες ταῦροι τῇ ἐκ πόλεως εἰς πόλιν καὶ ἀγρὸν εἰς ἀγροὺς διηκόνησαν τιμῇ ἀντὶ δώρων χρυσῶν, ὑμνωδίας καὶ ψαλμοὺς καὶ φῶτα μεγάλα, στάσεις παννύχους καὶ προπεμπτηρίους ἐντεύξεις ἐν πόθῳ προσήνεγκαν δορυφορίας. Ταῦτα τίς βαθύνων μὴ εἴπῃ ἀληθῶς ἐν τῇ ὑπομονῇ αὐτοῦ ὁ θεόφρων Χρυσόστομος ἐκτήσατο τῇ ψυχῇ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

αὐτοῦ; τὸν γὰρ βίον αὐτοῦ ὡσεί τινα δυσήνιον βοῦν τῇ ζεύγλῃ τῶν ἐντολῶν ἐδάμασε τοῦ θεοῦ τὸν πανδαμάτορα καλούμενον χρόνον τοῖς τῆς καρτερίας ὑποτραχηλώσας γυμνασίοις, δι' ὃ μὴ φέρων βλέπειν τοῦτον ὁ Σατανᾶς πειρασμοῖς αὐτὸν ἐδοκίμασεν ὑπτιῶσαι καθὼς καὶ πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους. Εἶδε τὸν Ἀδὰμ τιμηθέντα καὶ ἐζήλωσεν ὅτι περ εἰς τὴν ἐκείνου τιμὴν ὁ ἄνθρωπος ἀντεισήχθη. Εἶδε τὸν Ἄβελ πρὸ γεννήσεως ἀγαπηθέντα καὶ παρωξύνθη τοῦτον ἀδελφοκτονῆσαι. Εἶδε τὴν κτίσιν λατρεύουσαν τῷ κτίστῃ, καὶ εἰδωλολατρείαν εἰσήγαγεν ἐν τῷ κόσμῳ. Εἶδε τοὺς ἀνθρώπους εἰς οὐρανοὺς προσκαλουμένους καὶ πυργοποιίαν ᾠκοδόμησε κατὰ τοῦ θεοῦ. Εἶδε τὸν Ἰὼβ θεοσεβῆ καὶ πειρασμῷ τοῦτον σαρκικῆς ἐταλαιπώρησε πληγῆς. Εἶδε τὸν Ἀβραὰμ πιστεύσαντα τῷ θεῷ καὶ βαρβάρων ἐπιδρομὴν ὥπλισε κατ' αὐτοῦ. Εἶδε τὸν Λὼτ φιλόξενον καὶ αἱμομιξίας τοῦτον ἐκάρωσε μεθύσματι. Εἶδε τὰς ἐν τῷ Ἰσαὰκ υἱοθεσίας καὶ τὸν Ἰσμαὴλ ἀντιπαλαίειν αὐτοῦ ταῖς εὐτυχίαις ἐσπούδασεν. Εἶδε τὰς ἐν τῷ Ἰακὼβ κληρονομίας καὶ τὸν Ἡσαῦ μισαδέλφως ἤγειρε κατ' αὐτοῦ. Εἶδε τὸν Ἰωσὴφ σώφρονα καὶ μοιχείας ἐξανῆψε κατ' αὐτοῦ πυρκαϊάν. Εἶδε τὸν Μωυσῆν ἀστεῖον παρὰ τῷ θεῷ καὶ τὸν σκληροκάρδιον τεθύμωκε Φαραώ. Εἶδε τὸν Σαμψὼν κριτὴν δικαιοσύνης καὶ γυναικείᾳ τοῦτον ἀνεῖλεν ἀπάτῃ. Εἶδε τὸν Ἠλίαν θεόπτην καὶ τὴν Ἰεζάβελ ἐθηρίωσεν ἐμμανῶς κατ' αὐτοῦ. Εἶδε τὸν Δαβὶδ μαρτυρούμενον ὑπὸ τοῦ θεοῦ καὶ διπλῇ τοῦτον κατεπάλαισεν ἁμαρτίᾳ. Εἶδε τὸν Σολομῶντα σοφὸν καὶ εἰδώλων αὐτὸν ἐμαθήτευσε τιμωρίᾳ. Εἶδε προφήτας καὶ μύστας καὶ σφαγὰς αὐτοῖς ἐπινοεῖν σὺν καὶ διωγμῷ οὐ διέλιπεν. Εἶδε τὸν βαπτιστὴν Ἰωάννην θεὸν τὸν Χριστὸν εἶναι βοῶντα καὶ θάνατον αὐτοῦ κατωρχήσατο. Εἶδεν ἀποστόλους καὶ μάρτυρας καὶ θλίψεις αὐτοῖς καὶ ἀναιρέσεις προξενεῖν οὐκ ἐπαύσατο πικρῶς. Εἶδε καὶ τὸν μέγαν Χρυσόστομον κοινωφελίας χαριτωθέντα στόμα καὶ στόμα κατηγόρων ἐκίνησε κατ' αὐτοῦ. Φοβηθεὶς γὰρ τὸ εὐπειθὲς αὐτοῦ πρὸς ἀθέτησιν τῶν σατανικῶν ἔργων στόμα καὶ τὴν ἄπληστον τοῦ ἁγίου πρὸς ἐλεημοσύνην δεξιάν, χείλη δόλια καὶ λιβέλλους φαλσευμάτων ἐτεχνάσατο κατ' αὐτοῦ· οὐ γὰρ ἔφερε βαστάζειν, ἣν ὑπέμεινε, τὴν διὰ τοῦ Χρυσοστόμου ζημίαν. Ὅταν γὰρ ὁ πατὴρ διήνοιγε διδασκαλικῶς τὸ στόμα, τὰ τοῦ διαβόλου κατεσκορπίζοντο βέλη, τὰ πάθη τούτου κατενεκροῦντο καὶ ἡ ἄδικος τούτου κατεκενοῦτο φαρέτρα. Ἐθεώρει τὸν Χρυσόστομον ἐλεημοσύνας διδόντα καὶ ἐπτώχευεν οὗτος τῇ δυναστείᾳ βρύχων κατ' αὐτοῦ τοὺς ὀδόντας. Ἑώρα τοῦ Χρυσοστόμου τὸ βαλάντιον τῇ μεταδόσει μᾶλλον πληθυνόμενον καὶ τοὺς βόθρους ἑαυτοῦ θρηνῶν ἐπικραίνετο. Ἐπειδὴ γὰρ οὐδὲν μέγα ὑπώπτευσεν ὁ πατήρ, οὐδὲ μικρὸν ἀπεβάλετο, οὐ πρὸς δικαί-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ους παρεσιώπα, οὐχ ἁμαρτωλοὺς προσώχθιζεν. Ἐν πᾶσιν οὖν τοῖς συμβεβηκόσιν αὐτῷ ἀφροσύνης οὐκ ἐξήγαγε ῥήματα, ἀλλὰ καὶ τοῖς ἀπάγουσιν αὐτὸν ἐν ἐξορίᾳ ὡς πρόβατον ἠκολούθησεν ἄκακον καὶ τοῖς ἀνακομίσασι τὸ τίμιον αὐτοῦ λείψανον ὡς ποιμὴν συνεβάδισε καλῶς χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Φυλ. 362β —367α.

*Τοῦ αὐτοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἱεροῦ καὶ θείου Ἰωάννου τοῦ Χρυσοστόμου. Ἐγκώμιον δεύτερον. Εὐλόγησον πάτερ.*

Πάλιν ὁ Χρυσόστομος εἰς μνήμην δικαιοσύνης ἑτοιμότατος καὶ πάλιν ἐγὼ προπέτης τῶν ἐγκωμίων αὐτοῦ διηγητής. Πάλιν ὁ χρυσὸς τοῦ Χριστοῦ τοῖς λόγοις ὑπατεύεται καταλάμπων καὶ πάντες ἀντὶ χειρῶν τὰς ἀκοὰς ὑμῶν ἐξηπλώσατε. Πάλιν τὸ γάλα τῆς ἐκκλησιαστικῆς ἀμέλγεται ποίμνης κἀγὼ τὸ σκεῦος πρὸς ἐπαίνων καταγγισμὸν ὑποτίθημι. Πάλιν τὸ μέλι τῆς διδασκαλικῆς τρυγᾶται γλυκύτητος καὶ οὐ βαστάζει μου ἡ ψυχὴ τοῖς τούτου μὴ κατευφρανθῆναι τερπνοῖς. Ἀγάλλου τοιγαροῦν βασιλεύουσα πόλις, εὐφραίνου δικαίως ἡ χριστιανικὴ κτίσις, σκίρτησον τῆς ἱερωσύνης ἡ δόξα, ἔντεινε τῆς βασιλείας τὸ κράτος, κατευοδοῦ τῶν ἀνθρώπων ἡ σωτηρία ὅτι Κύριος ἐξ οὐρανῶν διέκυψε σήμερον ἐν τῷ ἀνακαλέσασθαι τοῦ ἀδίκου τῆς φατρίας διωγμοῦ τὸν μέγαν ἐν ἱερεῦσι Χρυσόστομον, ὅπως μὴ μωρανθῇ καθόλου στερούμενον τὸ τῆς θεοπνεύστου γνώσεως ἅλας, ἀλλ' ἐν ἄρτῳ θῶσιν ὡς ἀπ' ἀρχῆς τῆς ὠφελίμου Γραφῆς τὴν ἐκκλησίαν διατελεῖν. Τούτων χάριν ἐπανῆλθεν ἡ ὑδρία τῆς διδαχῆς καταχορτάζουσα καὶ ὁ καμψάκης τῆς ἐλεημοσύνης ἐπανάγεται μυστικῶς καταπιαίνων καὶ κἂν ἐδίψησαν πρὸς ὀλίγον αἱ πηγαὶ τῆς ἐκκλησίας, αὖθις ἐν αὐταῖς ὁ τῆς σοφίας τοῦ θεοῦ ποταμὸς ἐπευλογεῖται Χρυσόστομος, ὁ διωχθεὶς τοπικῶς καὶ κατασκηνώσας οἰκουμενικῶς, ὁ ἁρπαγεὶς ἐξ ἀνθρώπων καὶ ἐκ τῶν ἰδίων καὶ ἀπολαβὼν παρὰ τοῦ θεοῦ τὰ ἴδια, ὁ μόνος ἐκδημήσας καὶ μετὰ μυριάδων ἐπανακάμψας. Ἐξωρφανίσθη τῶν τέκνων καὶ τὰ τέκνα τὰ σπλάγχνα τοῦ πατρὸς ἐξεζήτουν. Ἀφῃρέθη τὸ ποίμνιον καὶ τὰ πρόβατα τοῦ ποιμένος ἀνεκαλοῦντο τὴν φωνήν. Ὁ φιλόπτωχος ἀπηλάθη καὶ ἡ τῆς εὐποιίας ἐνάρκωσε δεξιά. Ὁ λιμὴν τῆς διορθώσεως συνεχώσθη καὶ ἡ τῆς μετανοίας θάλασσα πρὸς χρόνους τινὰς κατεξηράνθη. Ὥσπερ γὰρ τὰ τῶν ἁγίων μαρτύρων

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

λείψανα μετὰ τελευτὴν δυναστικώτερα, οὕτως καὶ τὸ τοῦ Χρυσοστόμου σῶμα περιφανέστερον μετὰ νέκρωσιν ὁ θεὸς ἀπειργάσατο καὶ μετ' ἐκβίωσιν πλειόνων αὐτὸν ἐχαρίτωσεν ἐν ἀνθρώποις πρὸς συνέσεως φωτισμόν, σοφίας σκορπισμόν, σεβάσματος ἁγιασμόν· οὐ γὰρ τοσοῦτον ὁ χρυσὸς εἰς τὸν τῆς γῆς ἐμπορεύεται κόσμον, ὅσον τοῦ πατρὸς ἡμῶν Χρυσοστόμου κατεσπαρμέναι τυγχάνουσιν αἱ βίβλοι. Ἐχρῆν γὰρ τὸν χρυσεπώνυμον ἅγιον πλούτου ψυχικοῦ διαθήκην τοῖς πνευματικοῖς αὐτοῦ τέκνοις ἑαυτὸν καταλιπεῖν· ὅθεν καὶ θαυμάζων ἐξίσταμαι πῶς τὸν ἀναίτιον καὶ καθαρὸν εἰς πάντα αἰτιολογῆσαί τινες οὐκ ἐνεδοίασαν παρανόμως. Πλὴν ἐπειδὰν καὶ τῶν τελείων ἅπτεται διαφόρως ὁ μῶμος, οὐ δέον τῶν ἀτόπως πραχθέντων εἰς αὐτὸν λεπτολογῆσαι τὸ κρύφος· ἐν ἡμέρᾳ γάρ φησιν ἀγαθῇ ἀμνησία κακῶν. Θεραπεύεται δὲ καὶ ὁ πατὴρ ἡμῶν ἐν τούτῳ Χρυσόστομος, διότι προφάσει τῶν ἐναντιωθέντων αὐτῷ προσκαίρως λυπηθεὶς αἰωνίως χαροποιηθῇ, ἐπὶ καιρῷ ἀτιμασθεὶς ἀκηράτως τιμηθῇ, τῆς ἐπιγείου καθέδρας στερηθεὶς τῷ οὐρανίῳ θρόνῳ παρασταθῇ καὶ τόπον ἀμείψας ἐκ τόπου τῇ τοῦ φωτὸς τῶν ζώντων κατοικήσει χώρᾳ. Πῶς γὰρ ἦν ἐνδεκτὸν τὸν ἄλλοις μνησικακίαν κηρύξαντα ἀδόκιμον πρὸς τὸ οἰκεῖον κήρυγμα καταφανῆναι καὶ τὸν ἀγαθὸν σύμβουλον κακίας παράδειγμα χρηματίσαι, πῶς δὲ καὶ ταῖς ἡδυτάταις αὐτοῦ παραινέσεσι χολῆς ἐπέσμιγεν ἀνατροπήν, πῶς δὲ καὶ τῷ ἄνθει τῶν βιβλίων αὐτοῦ παραφυάδας συνεφύτευεν ἀκανθῶν; Τοίνυν ἀμνησικακίαν πάντως αὐτὸς ἐξασκήσας ἀμνησικακίας ἔμπλαστρον ἑαυτὸν ἡμῖν ὑπετύπωσεν εἰπών· ναὶ περὶ νηστείας καὶ ἐλεημοσύνης, ἄνθρωπε, προφασίζει πενίαν καὶ ἀσθένειαν, περὶ προσευχῆς τὴν ἀσχολίαν, περὶ μετανοίας τὸν πόνον, περὶ τῆς μνησικακίας ποία σοι πρὸς θεὸν ἀφορμὴ γενήσεται; Διὸ τοῖς παρανομοῦσι μὴ παρανομεῖν ἐδίδαξας, συγγνώμην τοῖς ἡμαρτηκόσιν αὐτῷ τὸν θεὸν ἱκέτευσε παρασχεῖν· τὸ γὰρ λύειν καὶ δεσμεῖν ἐπεξουσίως καὶ αὐτὸς λαβὼν ἀντὶ τῆς ἐκδικήσεως τὴν συγχώρησιν αὐτοῖς ἐπρέσβευσε φιλοτιμηθῆναι, ὅ,τι περ ἐζήτει καὶ ἤθελεν, ἐπένευσεν ὁ Χριστὸς πληροῦντος καὶ τοῦ Χρυσοστόμου τὰ περὶ ἀμνησικακίας ἐντεταλμένα. Οἱ τρέμοντες γάρ φησι ῥῆμα Κυρίου εἴπατε ἀδελφοὶ καὶ τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελλυσσομένοις, ἵνα τὸ ὄνομα τοῦ Κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ ὑμῶν, κἀκεῖνοι αἰσχυνθήσονται. Ὥσπερ οὖν τοῖς φίλοις τοῦ Ἰὼβ συνεχώρησε δι' αὐτὸν ὁ θεὸς ἅπερ διὰ τῶν λόγων αὐτῶν εἰς τὸ ἄλγος τῶν τραυμάτων προσέθηκαν τοῦ δικαίου, οὕτως καὶ διὰ τὴν τοῦ Χρυσοστόμου πατρὸς ἡμῶν ἀκακίαν τοῖς συκοφαντήσασιν αὐτὸν ἐγγράφως παρεχώρησεν ὁ τῆς εἰρήνης Κύριος· οὐ γὰρ ἀντέβη τοῖς ἀδικήσασιν αὐτὸν ὁ δίκαιος, ἀλλ' ὑπετάγη τῇ δοκιμασίᾳ καὶ ἀνοχῇ τοῦ θεοῦ μὴ παραζηλώσας τοῖς πονηρευσαμένοις κατ' αὐτοῦ. Εἰ γὰρ ἐστέναζε

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

περὶ αὐτῶν, ἠδύνατο πεῖσαι τὸν Χριστὸν ἀγγέλων αὐτῷ παραστῆσαι λεγεῶνας. Ἀλλὰ πῶς ἐμιμεῖτο τὸν διδάσκαλον αὐτοῦ Χριστὸν ῥαπιζόμενον καὶ μὴ ὀργιζόμενον, σταυρούμενον καὶ ἀνεχόμενον; ἢ πῶς εἶχεν ὁ τῆς ὑπομονῆς αὐτοῦ πληρωθῆναι μισθός; Ἐστέναξε δὴ καὶ ἔπεισε τοὺς μὲν τῶν λυπησάντων αὐτὸν καὶ πρὸ θανάτου, τοὺς δὲ καὶ ἔτι ζῶντας, ὅτι περ οὐκ ἤρεσε θεῷ ἡ προσενεχθεῖσα τούτῳ συσκευὴ καὶ ὅτι ἀπ' ἀρχῆς εὐάρεστος δοῦλος ὑπῆρχε τοῦ Χριστοῦ καὶ μετὰ τελευτὴν φίλος γνήσιος τοῦ θεοῦ ὡς δεδοξασμένος ἐξ αὐτοῦ καὶ παρρησίας ἀφάτου καταξιωθεὶς εἰς αὐτόν. Καὶ τὰ περὶ τούτου πιστώσομεν ἅπερ ἐπ' ἀληθείας ἠκούσαμεν καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν τῇ ἀναγνώσει. Κατὰ τὸν καιρὸν τοῦ διωγμοῦ τοῦ πατρὸς ἡμῶν θεόφρονος Χρυσοστόμου ἐγένοντο δύο θεοφιλεῖς ἀδελφοὶ οἱ ἀμφότεροι καὶ ἐπίσκοποι, ὁ μὲν Ἀδελφιὸς καλούμενος, ὁ δὲ Παῦλος λεγόμενος, καὶ τοῖσδε ἦν ἀδελφὴ Μαρία τὸ ὄνομα, διάκονος κεχειροτονημένη, γυνὴ πάνυ θεοσεβὴς καὶ εὐλαβής. Ὁ οὖν ταύτης ἀδελφὸς Ἀδελφιός, ὁ καὶ ἐπίσκοπος γεγονὼς Κουκουσοῦ, μιᾶς τῆς πρώτης τῶν Ἀρμενίων ἐπαρχίας πόλεως, ἐξηγήσατο λέγων οὕτως δὴ ῥητῶς· ὅταν ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως Ἰωάννης ὁ Χρυσόστομος εἰς Κουκουσὸν ἐξωρίσθη, εἰς τὸν οἶκον ἡμῶν παρερχόμενος ἔμεινεν. Ἐκ τούτου οὖν πολλὴν παρρησίαν καὶ ἀγάπην ἔσχομεν πρὸς αὐτόν. Ἔλεγε δὲ ὅτι ὅταν ὁ μακάριος Ἰωάννης ἐτελεύτησεν ἐν τῇ ἐξορίᾳ, λύπην εἶχον ἄφατον ὅτι περ ὁ τοιοῦτος ἀνὴρ καὶ τῆς οἰκουμένης διδάσκαλος, ὁ τοῖς λόγοις εὐφραίνων τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἔξω τοῦ ἰδίου ἐκοιμήθη θρόνου. Ἐδεόμην οὖν, φησι, τοῦ θεοῦ μετὰ πολλῶν δακρύων, ἵνα δείξῃ μοι αὐτὸν ἐν ποίᾳ καταστάσει ἐστί καὶ εἰ μετὰ πατριαρχῶν ἐτάγη. Ἐπὶ πολὺν οὖν χρόνον τοῦτο προσευξάμενος ἐν μιᾷ γίνομαι ἐν ἐκστάσει καὶ θεωρῶ ἄνδρα πάνυ εὐειδῆ κρατήσαντά με τῆς δεξιᾶς μου χειρός, ὅστις καὶ ἀπαγαγών με εἰς τόπον λαμπρὸν καὶ ὑπερένδοξον ἐδείκνυέ μοι τοὺς μεγάλους τῆς ἐκκλησίας διδασκάλους. Ἐγὼ δέ, φησι, περιεσκόπουν ἰδεῖν ὃν κατεπιθυμίως εἶχον, τὸν ἐμὸν Ἰωάννην τὸν ἀγαπητόν. Ὅταν οὖν ἔδειξέ μοι πάντας καὶ ἑνὸς ἑκάστου τὸ ἴδιον ὄνομα εἶπε, κρατήσας πάλιν τῆς χειρός μου ἐξήγαγέ με ἔξω. Ἐγὼ δὲ λελυπημένος ἠκολούθουν αὐτῷ μὴ ἑωρακὼς μετὰ τῶν πατέρων τὸν μακάριον Ἰωάννην. Ὡς οὖν ἐξηρχόμην, ὁ ἐφεστὼς τῇ θύρᾳ κατασχών με λέγει μοι· τί ἔχεις, τί λυπῇ; Ἐμοῦ δὲ μὴ ἀποκριθέντος αὐτῷ, πάλιν λέγει μοι· οὐδεὶς εἰσερχόμενος ἐνταῦθα λυπούμενος ἐξέρχεται. Τότε λέγω αὐτῷ· αὕτη μοί ἐστιν ἡ λύπη ὅτι τὸν ἐμὸν προσφιλέστατον Ἰωάννην, τὸν ἐπίσκοπον Κωνσταντινουπόλεως, οὐχ ἑώρακα μετὰ τῶν ἄλλων. Ὁ δὲ πάλιν λέγει μοι· Ἰωάννην, τὸν τῆς μετανοίας λέγεις; Λέγω αὐτῷ ναί. Ὁ δὲ ἀποκριθεὶς λέγει μοι· ἄνθρωπος

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ἐκεῖνον ἐν σαρκὶ ὢν ἰδεῖν οὐ δύναται· ἐκεῖ γὰρ παρίσταται, ὅπου ὁ θρόνος ἐστὶν ὁ βασιλικός. Ταύτην τὴν ὀπτασίαν ὁ φιλομαθὴς κειμένην εὕροι ἐν τῇ τοῦ νέου παραδείσου βίβλῳ. Ὅπως δὲ καὶ φήμην ἄκαιρον ἔν τισι τῶν ἀφρονούντων ἐξάρω, προσθήσομαι καὶ τάδε· φασί τινας τῷ Χρυσοστόμῳ τὸ δοκεῖν χαριζόμενοι, Ἐπιφανίῳ, τῷ μεγάλῳ πατρὶ καὶ τῆς νήσου τῶν Κυπρίων ἱεράρχῃ, τὸν ἅγιον μηνιᾶσαι Χρυσόστομον, ἅτε δὴ τοῦ θεόφρονος Ἐπιφανίου τῇ ἐξορίᾳ τούτου συναινέσαντος, ὅπερ ψευδὲς καὶ μειρακισμὸς κατὰ τὸ γεγραμμένον αὐλούντων ἐν ἀγορᾷ καὶ οἶκος ἐν ἄμμῳ κτιζόμενος. Πῶς γὰρ ὁ τῷ Χρυσοστόμῳ προφητεύσας ἀγαθά, τῷ τούτου διωγμῷ συνεψηφίζετο; Τοὐναντίον μὲν γὰρ καὶ ἀντέστη πολλὰ τῇ Εὐδοξίᾳ εἰρηκὼς πρὸς αὐτὴν τοιαῦτα· θεός σοι τὸ κράτος ἐδωρήσατο, ἀνθρώπων ἄρχεις, Εὐδοξία, θεὸς δὲ καί σου μετὰ πάντων κατάρχει. Ἐὰν οὖν δι' οἰκείαν ὕβριν ἀγανακτῇς, ἄφες τὸ σὸν πάθος σε ἐκδικεῖν, εἰ δὲ πίστεως χάριν καταβοᾷς τοῦ ἀνδρός, ἀκουσώμεθα ἀμφοτέρων ὑμῶν τὰς ἀντιρρήσεις. Εἰ δὲ βούλει μὴ πεισθῆναι, σκόπει τὶ ποιεῖς. Ἀθῶος ἐγὼ τῆς πρὸς τὸν ἄνθρωπον κατακρίσεως. Τούτοις μὴ ἀρεσθείσης τῆς βασιλίσσης, ἀλλὰ καὶ μᾶλλον ἐξαναφθείσης καὶ τοὺς ναοὺς τῶν εἰδώλων ἀνοίγειν ἐπομοσαμένης βύσας Ἐπιφάνιος τὰ ὦτα καὶ σπουδῇ τὸ παλάτιον ἐγκαταλείψας ἀσυντάκτως οὕτως ἐκ τῆς βασιλίσσης ἀνεχώρησεν. Εἰπάτωσαν οὖν ἡμῖν οἱ μεμψολόγοι πῶς ὁ τῷ Χρυσοστόμῳ δεδηλωκὼς Ἐπιφάνιος· Ἰωάννη ἀθλητὰ δέρου καὶ νίκα, οὐ μὴ ἴδῃς τὴν ἐξορίαν σου, συνήγορος τῆς ἐξορίας ἐγένετο τοῦ Χρυσοστόμου; Καὶ εἰ μὴ διεγίνωσκε πάλιν ἀδικεῖσθαι τὸν δίκαιον, πῶς τὰ μὴ προβαίνοντα τούτῳ προεμήνυε διορατικῶς; Καὶ εἰ μὴ διὰ τοῦ δέρεσθαι καὶ ἀθλεῖν νικᾶν ἐψυχαγώγει τὸν Χρυσόστομον, πῶς δι' ἐπάθλων ὑπομονῆς προσδοκίας ἀγαθὰς ἔχειν αὐτὸν ἐδικαίου; Εἰ γὰρ οὐκ ἀθῶος τοῦ ἐγκλήματος ὑπῆρχεν, οὐδὲ σύμβουλος μακροθυμίας ἐτύγχανε τῷ ὁσίῳ Φιλίας· τοιγαροῦν συνάλγημα τὸ δήλωμα καὶ ἐλπίδων ὁσίων τὸ προφήτευμα· οὐ γὰρ λυπουμένου τὰ καλὰ προεπαγγέλματα, οὐκ ἐχθροῦ τὰ ἀγαθὰ προμηνύματα, ἀλλ' ἐκβάσεως ἐλπίδος εὐαγγέλια, τουτέστιν οὐκ ἐπιχαρῶσι τῇ ἐξορίᾳ σου οἱ διῶκται τῆς εὐσεβοῦς πολιτείας σου, οὐκ ἴδῃς ταύτην καὶ οὐ μὴ θλιβῇς ἐξ αὐτῆς. Τὸ δέρου καὶ νικᾷς, τί δ' ἂν ἕτερόν ἐστιν, εἰ μὴ βάστασον πληττόμενος· ὡς μάρτυς γὰρ θεοῦ στεφανωθήσῃ νικῶν. Καὶ πῶς ὁ ἀθλητὴν καὶ νικητὴν τὸν Χρυσόστομον καλέσας τῇ τούτου συνευδόκησεν ἐξορίᾳ, διότι προεγίνωσκεν Ἐπιφάνιος ἐκ πνεύματος ἁγίου τὰ μέλλοντα τῷ Χρυσοστόμῳ συμβαίνειν. Ἔνθεν πρὸς ἀντίχαριν ὥσπερ προφητείας καὶ οὐ θλίψεως ἀνθομοίωσιν καὶ ὁ Χρυσόστομος δεδήλωκεν Ἐπιφανίῳ· οὐδὲ σύ φησιν Ἐπιφάνιε τὸν θρόνον σου θεωρεῖς. Ἰδοὺ πῶς καὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

παρ' ἄλλου τῆς δυνάμεως τὸ ἀντάλληλον τῆς προφητείας ἐβεβαιώθη. Καὶ γὰρ καὶ οἱ τὰ ἑτέρων προλέγοντες ἑαυτῶν γεγόνασιν ἐνδεεῖς, ὅπως καὶ ἀλλήλοις ἀμφότεροι δεξιοὶ καταστῶσιν οἱ ἅγιοι καὶ καθὰ γέγραπται πνεύματα προφητῶν προφήταις ὑποταγῶσι. Ἆρα δὴ λέγειν Ἐπιφάνιον οὐκ ἄτοπον ἁγίου τοιούτου διωγμῷ συγκοινωνῆσαι; Ἐπιφάνιον λέγω τὸν ἄνθρωπον τοῦ θεοῦ καὶ θαυματουργὸν μέγαν, τὸν ἐκλάμψαντα πολιτείᾳ χρηστῇ καὶ λόγοις τε καὶ ἔργοις καὶ δόγμασι δυνατόν, τὸν δαιμόνων καὶ νόσων φυγαδευτήν, τὸν τὴν ὀρθόδοξον πίστιν ἐξ αἱρετικῶν στομάτων ἰοβολίας ἀσφαλῶς κυρώσαντα, φόβον τε θεοῦ καὶ ἀγάπην καὶ κρίσεως ἐνδοιασμὸν ἔχειν ἐκδιδάξαντα. Ὁ τῶν τοιούτων κατορθωτὴς ἀλλότριον οὐκ ἀναδέχεται κρῖμα. Καὶ τοσοῦτον ἀληθὲς τὸ λεγόμενον ὅτι περ ἀποπλεύσας Κωνσταντινουπόλεως ὁ θεουργὸς Ἐπιφάνιος, καταλαβὼν ἐν Ἀνδριάκῃ, τῇ πόλει τῆς Λυκίας, πρὸς τὸ τέλος τοῦ τιμίου αὐτοῦ καταφθάσας θανάτου ἐν ἡμέρᾳ Κυριακῇ μετὰ τὴν θείαν καὶ μυσταγωγὸν λειτουργίαν λέγει τοῖς ἑαυτοῦ μαθηταῖς ἀνελθὼν ἐν τῷ πλοίῳ παρόντος ἐκεῖ καὶ τοῦ ἐπισκόπου Μύρων· τεκνία μου νῦν ἡ προφητεία τοῦ ἀδελφοῦ μου πληρωθήσεται Ἰωάννου· σήμερον γὰρ ἐνταῦθα τελευτήσω. Εἶδες πῶς ὡς ἐκ προφήτου τὰ ῥήματα τοῦ Χρυσοστόμου δεξάμενος ἀληθῆ ταῦτα δημοσιεύσας ἐκύρωσε; Πάντως δὲ καὶ ὁ Χρυσόστομος τὴν εἰς αὐτὸν τοῦ Ἐπιφανίου προφητείαν τῇ ὥρᾳ τῆς ἐκβιώσεως αὐτοῦ πεφανέρωκεν ἐπιμνησθείς. Ταῦτα μικρὸν ἐπεξεργασάμην δεῖξαι βουλόμενος μηδὲ τοῖς πταίσασιν αὐτῷ μνησικακῆσαι τὸν Χρυσόστομον, μηδὲ τοῖς ἀνεγκλήτοις λέγειν ἀδιαφορῆσαι τὸ σύνολον. Ἐπεὶ καὶ Κυρίλλου, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου γενομένου Ἀλεξανδρείας, χάριν τῷ ἰδίῳ νέμοντος θείῳ Θεοφίλῳ καὶ πάπᾳ πρὸ αὐτοῦ τῆς αὐτῆς Ἀλεξανδρείας χρηματίσαντι μητροπόλεως ἀποκήρυκτον ποιήσαντος πρὸς ὀλίγον τὸν Χρυσόστομον φαίνεται καθ' ὕπνον ἰδεῖν ὅτι περ ἅμα τῇ Θεοτόκῳ συνῆν περιπατῶν ἐν τόπῳ μεγάλου φωτὸς ὁ Χρυσόστομος, ὃς ἰδὼν τὸν Κύριλλον ἐκεῖσε σπουδαίως εἰσελθόντα κωλύει τοῦτον πρὸς τὰ παρέσω πλησιάσαι ἐπεγκαλῶν δι' αὐτὸν τῇ Θεοτόκῳ καὶ λέγων· ναὶ Θεοφίλῳ δῶμεν ὅτι ἔπταισα ὡς ἐν ζῶσι τῷ ἔτι ζῶντι προσοχθίσας, Κυρίλλῳ δὲ μηδὲν ἡμαρτηκὼς διατί παρ' αὐτοῦ μετὰ θάνατον μάτην ἐχθραίνομαι, ὃν οὐδὲ τεθέαμαι, οὔτε μὴν ἐξ αὐτοῦ κατὰ τὴν πρόσκαιρον ἑωράθην ζωήν; Ἐπὶ πολὺ δὲ καταβοῶντος αὐτοῦ μεσιτεῦσαι τούτοις τὴν Θεοτόκον εἰποῦσαν τῷ Χρυστόμῳ· μὴ λυποῦ πρὸς Κύριλλον δι' ἐμέ, ἐμοὶ χαρίζει Κυρίλλῳ φιλούμενος, ἔργον ὅτι καλὸν εἰργάσατο εἰς ἐμέ, τὸν ὑβριστήν μου καταισχύνας Νεστόριον κεκοπιακὼς πολλὰ διὰ τὸ μεγαλῦναι καὶ κρατῆσαι τὸ ὄνομά μου. Ταύτην θεασάμενος τὴν ὀπτασίαν ὁ ἀοίδιμος Κύ-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ριλλος παρευθὺς κοινωνεῖ κατὰ ψυχήν, πίστιν καὶ ἀνάμνησιν ἐν ὅλαις ταῖς ὑπ᾽ αὐτὸν ἐκκλησίαις τῷ Χρυσοστόμῳ πατρὶ καὶ ἀπὸ τότε μὴ μόνον καὶ αὐτὸν σὺν ὅλῳ τῷ κόσμῳ Χρυσόστομον προσαγορεύειν τὸν ὅσιον, ἀλλὰ καὶ χρήσεων αὐτῷ ἐπιμνησθῆναι διαφόρων, προσμαρτυρουσῶν τοῖς ὑπ᾽ αὐτοῦ πίστεως ἐκτεθεῖσιν ἔν τε τῷ βιβλίῳ, τῷ ἐπικληθέντι θησαυρῷ, εἶτα καὶ ἐν τῷ πρώτῳ λόγῳ, τῷ πρὸς τὰς βασιλίδας ὑπ' αὐτοῦ τοῦ ἁγίου λεχθέντι Κυρίλλου. Λοιπὸν δὲ καὶ δι' ὧν τὴν ἐν Χαλκηδόνι φέρει μνημονεύσας μακαριστικῶς σύνοδον ἐκδηλώσει τοῦ μεγάλου Κυρίλλου πρὸς τὸν οἰκουμενικὸν ἡμῶν διδάσκαλον καὶ πατέρα Χρυσόστομον ἀγαπητικὴ καὶ ὁμόφρων οἰκείωσις· ὄντως γὰρ καὶ ἐν τούτῳ τὴν δόξαν ἔδει τοῦ θεοῦ φανερωθῆναι τοῦ μίαν εἶναι σύμπνοιαν Ἰωάννου καὶ Κυρίλλου τῶν θεοφθόγγων φωστήρων. Οὕτως μὲν οὕτως τὰ περὶ τῆς μνησικακίας εἰρήσθω τοῦ Χρυσοστόμου καὶ μακάριος ἀληθῶς καὶ πρὸ θανάτου καὶ μετὰ θάνατον ὁ ἅγιος καὶ ἔτι καθ' ὑπερβολὴν τρισμακάριστος ἐν τῇ δευτέρᾳ τοῦ Χριστοῦ φανῇ παρουσίᾳ ὅτι περ ἐπικερδὴς κληρονομία τοῖς ἀνθρώποις ἡ πολυποίκιλος τῆς σοφίας αὐτοῦ κατελείφθη διδαχή, τὰ χείλη τούτου τὰ ἅγια, τὰ λαλοῦντα μέχρι τῆς συντελείας τοῦ αἰῶνος τὴν κατὰ τῶν ψυχικῶν παθῶν καὶ σαρκικῶν μολυσμῶν ἰατρείαν, τὴν ἐξ ὅλων τῶν ἁμαρτιῶν ἐπιστροφὴν καὶ κατὰ πάντων τῶν αἱρετικῶν ῥαγδαιοτάτην βροντήν, τὸν ὑπὲρ λόγον ἀγωνιστὴν καὶ ὑπὲρ νοῦν κατορθωτήν, τὸν ὑπὲρ φύσιν ἐγκρατῆ καὶ ὑπὲρ ἄσκησιν κοπιαστήν, τὸν πατριάρχην κατὰ τὸ πρᾶγμα καὶ μοναχὸν κατὰ τὸ πνεῦμα καὶ ἱερέα κατὰ τὴν τάξιν, τὸν ἀκοίμητον τῆς προσευχῆς ὀφθαλμόν, τὸν ἄοκνον τῆς εἰρηνοποιΐας πόδα καὶ ἀσιώπητον τῆς νουθεσίας στόμα· οὐ γὰρ ἀπέγνω ποτέ τινος, ἀλλ' ἕκαστον σώζεσθαι διαβεβαιούμενος τῇ θύρᾳ κρούειν τοῦ θεοῦ διὰ παντὸς προέτρεπε παρακαλῶν. Τί γὰρ εἶχεν, ὃ οὐκ ἔλαβε παρὰ θεοῦ, ὁ κολακευτὴς πατήρ, ὁ μειλίχιος ἀρχιερεύς, ὁ μελλίρρυτος φθόγγος, ὁ διδακτικὸς λόγος, ἡ ἀνυπόκριτος ἀγάπη, ὁ ἐγγυητὴς τῆς μετανοίας, ἡ ἐλεήμων ἱλαρότης, ὁ συνασθενὴς τῶν ἀσθενούντων, τὸ κοινὸν τῆς συμπαθείας τραῦμα, ὁ παιδεύων ἰαματικῶς καὶ ἐλέγχων εἰρηνικῶς, ὁ ἠθικῶς νουθετῶν καὶ εὐπειθῶς ἐπανορθῶν, ὁ παιδαγωγῶν πατρικῶς καὶ οἰκειοπαθῶν συμφυῶς, ὁ τῶν ζώντων ἐν παραινέσει μεριμνητὴς καὶ τῶν νεκρῶν ἐν ἐλεημοσύναις ἀντιλήπτωρ; Ἀλλὰ πολλὰ λέγειν ἔχων περὶ αὐτοῦ ἀρκοῦμαι τὰ γεγραμμένα δι' αὐτὸν καὶ πάλιν παραθέσθαι τοῖς ἐγκωμίοις. Εὗρον καὶ εἶδον καὶ ἀνέγνων οὕτως ἔχοντος τοῦ ῥητοῦ· ἔλεγον περὶ τοῦ Ἰωάννου Κωνσταντινουπόλεως τοῦ ἀξίως καὶ δικαίως κληθέντος Χρυσοστόμου διὰ τὸ τοῦ διδασκαλικοῦ ἀρρύπωτον καὶ τίμιον καὶ καθαρὸν καὶ διαυγὲς ὅτι ἀφ' οὗ περ τὸ σωτήριον ἔλαβε βάπτι-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

σμα οὔτε ὤμοσεν οὔτε τινὰ ὥρκισεν, οὔτ᾽ ἐψεύσατο οὔτε τινὰ κατηράσατο, οὔτε εὐτράπελα ἐλάλησεν οὔτε μὴν εὐτραπελούντων ἠνέσχετο. Διά τοι ταῦτα καὶ ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι κατὰ τὸ γεγραμμένον νομίζεται. Ζῇ τῷ θεῷ καὶ ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ καὶ ὁ συρραφεὶς κατ αὐτοῦ φθόνος στέφος αὐτῷ σωτηρίας ἀμάραντον ἔπλεξεν. Εἰ γὰρ καὶ κάτω θρόνος ἀνομίας κατ' αὐτοῦ προετέθη, ἄνω θεὸς δι' αὐτὸν ἐφθέγγετο μὴ ἅπτεσθαι τοῦ χριστοῦ μου καὶ ἐν τῷ θεράποντί μου μὴ πονηρεύεσθαι Χρυσοστόμῳ καὶ εἰ κάτω συνέδριον κατ' αὐτοῦ ματαιότητος ἔκραζεν ἄρωμεν ἀφ' ἡμῶν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστιν, ἄνωθεν ὁ θεὸς ὡς ἐπὶ τοῦ Ἰώβ νοητῶς πρὸς αὐτὸν διελέγετο· θάρσει, Χρυσόστομε, ἡ κρίσις σου μετὰ ἱκανοῦ κριθήσεται, σὺ δὲ μὴ ἀποποιοῦ τὸ κρῖμά μου, μηδὲ πάλιν οἴου με ἄλλως σοι κεχρηματικέναι, εἰ μή, ἵνα φανῇς δίκαιος, ὅπως σε δίκαιον ἐμοὶ προγινωσκόμενον εἶναι δίκαιόν σε καὶ παρὰ πᾶσιν τυγχάνειν φανερώσω· ὅθεν ἀπ' ἄρτι λαληθήσεται ἐν ὅλῳ τῷ κόσμῳ ἡ εὐσεβὴς δικαιοσύνη σου μένουσα καὶ διαμένουσα καὶ τιμωμένη νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Φυλ. 367α—370β

*† Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἱεροῦ καὶ θείου Ἰωάννου τοῦ Χρυσοστόμου. Εὐλόγησον πάτερ.*

Σήμερον ἡ τοῦ ὀνειδισθέντος διὰ Χριστὸν παγκόσμιος ἐπιτελεῖται πανήγυρις. Σήμερον ἡ τοῦ εὐσεβῶς ζήσαντος καὶ διωχθέντος ἀσεβῶς ἑορτάζεται ἐκδίκησις. Σήμερον ὁ διὰ ζῆλον δικαιοσύνης ἐξορισθεὶς πατριάρχης πρὸς τὸν ἴδιον καὶ ἀποστολικὸν ἀνεκλήθη θρόνον, ᾧτινι πᾶσαι αἱ τῶν ἀνθρώπων πατριαὶ χρεωστοῦσι δόξαν καὶ τιμὴν ἀναπέμψαι, δόξαν ἐν ὀνόματι αὐτοῦ καὶ προσκύνησιν ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ, μεθ' ὧν κἀγὼ τὰς τῶν ὕμνων ἄρας θυσίας εἰς τὰ τῶν ἀρετῶν τοῦ πατρὸς εἰσπορεύομαι βάθη τὸν ὀνειδισμὸν αὐτοῦ τιμῶν, ὅτι διὰ τὸν Χριστὸν ἐξουθενίσθη, ὅτι μακαριστὸς ὁ τοιοῦτος· ἀληθῶς γὰρ ψυχωφελὴς ἡ τούτου διήγησις καὶ ἡ τούτου πάλιν ἀνάμνησις ὡς εὐχῆς ἐπιτυχία, πρὸς ὃν ἐν δίψῃ δράμωμεν καὶ μάλιστα σήμερον ὅτι περ ἀγαθὸν τοῖς τούτου προσέχειν ἐγκωμίοις καὶ ἐπεύχεσθαι διὰ παντὸς ἀξίους ἡμᾶς τῶν ἀρετῶν αὐτοῦ καὶ διδαχῶν ἀναδειχθῆναι, ὃν ὁ θεὸς σκεῦος δεύτερον ἀποστολικῆς εἰς περιουσιασμὸν ἑαυτῷ καὶ καλλονὴν ἱερωσύνης ἀνεπιλήπτου δικαίως ἐκλεξάμενος ἐκ πολλῶν κλητῶν ἀντὶ πολλῶν ἐκλεκτῶν ποιμένα κοσμικῶν λαῶν προεχειρίσατο. Οὐκ ἐνέδωκε γάρ ποτε βρύων τὰ λόγια Κυρίου, ὥστε τὴν σήμερον αὐτοῦ διδασκαλίαν τῇ αὔριον προστιθεμένην προσομιλίᾳ τῶν ἀκροα-



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

τῶν αὐτοῦ καταγεμίζειν τὰ ὦτα· περισπώμενοι γὰρ περὶ τὴν πολλὴν τῶν ὄμβρων αὐτοῦ φωνὴν οὐκ ἔφθανον τὸν χθὲς αὐτοῦ καταγγίσαι τῆς διδαχῆς ὑετὸν καὶ ἡ τῆς αὔριον τοῦ στόματος αὐτοῦ κατεθαλάσσιζε δρόσος. Ἀλλά γε καὶ τοῦ κόσμου τούτου μεταστὰς τῆς παροικίας ἡσυχαζόντων αὐτοῦ τῶν χρυσοσταλάκτων χειλέων ὤφθησαν καὶ μᾶλλον εἰπεῖν ἀναπλεώτεραι τῶν σοφῶν αὐτοῦ λόγων αἱ πηγαὶ καὶ ἀνεκαλύφθησαν τὰ θεμέλια τῆς τερπνῆς αὐτοῦ γλώσσης καὶ ἐπληθύνθησαν ἄβυσσοι τῶν διδαχῶν αὐτοῦ καὶ αἱ βίβλοι τούτων οὐκ ἐσμικρύνθησαν μὴ μέτροις ἀριθμούμεναι ψήφου, ἀλλ᾽ εἰς συμμετρίαν σωρευόμεναι πλήθους. Καὶ διὰ τοῦτο θαυμαστὸς ἐν σώματι ὅτι περ οὐ μετρητὸς ἐν συγγράμμασι, καὶ διὰ τοῦτο γλυκὺς ἐν ἐξηγήσει ὅτι περ εὐφραδὴς ἐν παραινέσει. Ὁ μετρῶν τοῦ Χρυσοστόμου πονήματα ἐξαριθμήσει καὶ τῆς θαλάσσης τὰ κύματα, ἀλλ' ὅσα κἂν συνάξῃ, τοσαῦτα παρεάσει, καὶ τοῦ σωρευομένου μέτρου ὑπερανέξει τὸ ἀσύλλεκτον πλῆθος, ὁμοιούμενος ἐν τούτῳ τῷ ἀφερεπόνως, ὡς λόγος ποτέ, τὰ τῆς θαλάσσης ἐπιτηδεύσαντι μετρῆσαι κυματοκύλιστα ῥεῖθρα, ὃς ὅταν πολλὰ διῆλθε μετρῶν, φυρεὶς τὴν ψῆφον, πρὸς τὴν ἔναρξιν τῆς ματαιοπονίας πάλιν ὑποστρέψας πρὸς τὸ ἀνύπαρκτον τῆς ἐγχειρήσεως τὸν νοῦν ἐνησχόλει τὸν ἴδιον, τοιοῦτος ὁ τὰς τοῦ Χρυσοστόμου σχολάζων ἐνθηκεῦσαι νομισθήσεται βίβλους, ὃν τρόπον καί τινες, ὡς λόγος, τετρακισχιλίας ὀκτακοσίας αὐτοῦ συναγαγόντες βίβλους περὶ τῶν λοιπῶν αὐτοῦ ἠτονήκασιν ἐκδοῦναι. Οὐκ ἀπεικὸς γὰρ λέγειν περὶ αὐτοῦ· ἐξῆλθεν ὕδωρ ἐκ πέτρας χρυσοτμήτου φλεβὸς καὶ ἐπότισε χρυσοστομικῆς διδασκαλίας καὶ ἐκλήθησαν αἱ συναγωγαὶ τῶν λόγων αὐτοῦ δεξαμεναὶ θαλασσῶν καὶ αἱ βίβλοι τῶν πόνων αὐτοῦ ὠκεανοὶ σοφίας κυκλοῦσαι πᾶσαν τὴν ὑπ' οὐρανόν. Καὶ γὰρ ὡς ὁ χρυσὸς ἐν ὑπατείᾳ ριπτόμενος τὰς χεῖρας τῶν ἀνθρώπων διαπετάζεσθαι πρὸς αὐτὸν παρασκευάζει καὶ τοὺς ὀφθαλμοὺς εἰς αὐτὸν ἀναβλεφαρίζειν ἀναγκάζει, ἔτι δὲ καὶ τὰ χείλη κεχηνότα πρὸς τὰ ῥιπτόμενα ποιεῖ, τοιαύτη καὶ ἡ τοῦ Χρυσοστόμου πατρὸς ὁμιλία, ὅτι πᾶς ὁ ἀκούων τῶν θεοπνεύστων αὐτοῦ ῥημάτων ὡς χρυσὸν τὸν ἐξ αὐτῶν περιπτύσσεται πλοῦτον. Ἀμέλει τινὲς ἐπὶ τῶν διιππευσάντων καιρῶν κληρικοὶ καὶ τῶν ὠκεανικῶν ὑπάρχοντες διατριβῶν προφάσει τινῶν ἐκκλησιαστικῶν παραδόσεων καὶ τῆς τοῦ πασχαλίου τελείας καὶ ἀκριβοῦς καταλήψεως τὴν βασιλίδα καταλαβόντες πόλιν τῷ ταύτης πατριάρχῃ ἐμφανισθέντες τηνικαῦτα πόθεν τε καὶ τίνος χάριν ἥκειν ἐρωτηθέντες, τὸν ὠκεανικόν, ἔφησαν, οἰκεῖν κόλπον, καὶ τὴν αἰτίαν δι' ἣν παρεγένοντο σαφῶς διεξῆλθον. Τοῦ πατριάρχου πάλιν αὐτοὺς προσερωτήσαντος ποίαις τῆς Γραφῆς οἱ τῶν ἐκεῖσε σχολάζουσι βίβλοις, τῷ Εὐαγγελίῳ καὶ τῷ Ἀποστόλῳ χρᾶσθαι μόνοις ἀπελογίσαντο. Αὖθις τοῦ πατριάρχου καὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ποίαις, φασίν, εἰρηκότος πρὸς αὐτοὺς πατέρων παρ' ὑμῖν καὶ διδασκάλων ἐκδόσεσιν, ἓν καὶ μόνον βιβλίον εἶναι παρ' αὐτοῖς ἀπεκρίναντο, Ἰωάννου τοῦ λεγομένου Χρυσοστόμου, δι' οὗ πολλῆς ὠφελείας συνέθεντο καθ' ἡμέραν πληροῦσθαι καὶ τὴν μὲν ἐκκλησίαν ὡς ἔν τινι τούτῳ μονογενεῖ κατευφραίνεσθαι τέκνῳ, τὸν δὲ λαὸν ὡς ἔν τινι τούτῳ μονοφεγγεῖ καταλάμπεσθαι ὀφθαλμῷ, εἶναί τε παρὰ πᾶσιν ἐπιθυμητὸν τὸ τοιοῦτον βιβλίον παρ' ἄλλου καὶ ἄλλου καθ' ἑκάστην ἐμπόθως μεταγραφόμενον, καθάπερ τινὰ σπόρον πρὸς ἐπικαρπίαν καρδιῶν ἐμπονούμενον καὶ βότρυν εὐφραντικὸν χερσὶν ἐκθλιβόμενον καὶ μελιφθόγγως ἀκοαῖς ἐκτρυγώμενον καὶ ἅλας εὐαγγελικῶν γλωσσῶν λογιζόμενον γεύσει καὶ γάλα θρεπτικὸν ἀποστολικῶς ἀμελγόμενον καὶ ὡς ἐπὶ πέτρας οἰκοδομεῖν διὰ τῆς τοῦ τοιούτου βιβλίου στηρίζεσθαι διδαχῆς. Ὁρᾷς, ὦ ἄνθρωπε, πῶς καὶ ἐν τῷ κυκλοῦντι τὴν γῆν ὠκεανῷ ἡ χάρις τῶν χειλέων τοῦ Χρυσοστόμου πατρὸς κατεξεχύθη; Ὁρᾷς πῶς καὶ ὁ πολὺς ἐν ὕδασιν ὠκεανὸς τῆς πηγῆς προσεδεήθη τοῦ ἁγίου; Ὁρᾷς πῶς καὶ ἡ ἅλμη τῶν ὠκεανικῶν ὑδάτων τῷ μέλιτι κατεγλυκάνθη τοῦ Χρυσοστόμου; Ὁρᾷς πῶς καὶ τὰ τοσαῦτα συστήματα τῶν πελαγῶν τὴν τοῦ ὁσίου δεδιψήκασι γνῶσιν; Εἶδες πῶς μέχρι τῶν περάτων τῆς οἰκουμένης τὸ κοινωφελὲς στόμα διῆλθε τοῦ δικαίου φθεγγόμενον; Εἶδες πῶς ὁ Παῦλος μέχρι τοῦ Ἰλλυρικοῦ καὶ ὁ Χρυσόστομος ἕως τοῦ ὠκεανοῦ γέγονε κῆρυξ; Ὃν γὰρ τρόπον μία τοῦ ἀποστόλου βίβλος πάντα τὰ πρὸς σωτηρίαν περιέσφιγξεν ἀνθρώποις, οὕτως εἰπεῖν μία καὶ τοῦ Χρυσοστόμου βίβλος τοὺς ἐν ὠκεανῷ κατοικοῦντας ἴσχυσε θεοσεβῆσαι. Δεινόν, ὡς ὁ λόγος, τὸ ὕδωρ τοῦ ὠκεανοῦ κοχλάζον τῇ ὑπερβολῇ τῆς θέρμη; βιοφέρει, ὁ λόγος τοῦ Χρυσοστόμου πρὸς πόθον ἀκοῆς ὠτίου τοὺς ἐν τῷ ὠκεανῷ διάγοντας ἐξέκαυσε φωτιστικῶς· οὐ γὰρ μόνον αὐτοῖς ἡμερινὸς φωστὴρ ἐγεγόνει, ἀλλὰ καὶ νυκτερινὸς ἐχρημάτισεν ἥλιος ἀπ' ἄκρου τοῦ οὐρανοῦ τὴν ἔξοδον τῆς διδασκαλίας ἀκτινοβολῶν καὶ τὸ κατάντημα τοῦ στόματος αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ καταλάμπων οὗ τῆς ψυχωφελοῦς θερμασίας καὶ οἱ τὸν ὠκεανὸν οἰκοῦντες οὐκ ἀπεκρύβησαν λαοί, περὶ οὗ πρόσφορον λέγειν· ὁ νυμφίος τῆς ἐκκλησιαστικῆς παστάδος ἥλιος καὶ γίγας ἀγαλλόμενος ἐν στόματι τοῦ δρόμου τῶν ἐντολῶν τοῦ Χριστοῦ, ὁ ἐν τῷ παραδείσῳ σήμερον τοῦ ἀποστολικοῦ ναοῦ τὸ σκήνωμα θέμενος ἑαυτοῦ, ἐπιστρέφων ψυχάς, ὁ ἐν μαρτυρίᾳ τῆς πίστεως σοφίζων νηπίους τῆς ὀρθοδοξίας τὰ δόγματα, ὁ τοῖς δικαιώμασι Κυρίου τὰς εὐθείας πρὸς αὐτὸν ἐν προσδοκίᾳ τῶν μελλόντων εὐφραίνων καρδίας, ὁ ταῖς ἐντολαῖς τοῦ Κυρίου ὀφθαλμῶν τηλαυγίζων διανοίας, ὁ τὸν φόβον τοῦ Κυρίου ἁγνῶς διδάξας διαμένειν, ὁ τὰ κρίματα Κυρίου ἀληθινὰ πιστοφορήσας ὑπάρχειν καὶ ταῦτα παρεγγυῶν φοβεῖσθαι,

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ὁ ἐπιθυμητὸς ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν καὶ γλυκύτερος ὑπὲρ μέλι καὶ κηρίον διδάσκαλος. Τοίνυν τὰ εἰς αὐτὸν πραχθέντα παραπτώματα τίς συνήσει; Ὅταν γὰρ ἐνομίσθη παρὰ τῶν ἐχθρῶν αὐτοῦ κατακυριευθῆναι, τότε καὶ μᾶλλον ἀνυψώθη παρὰ τοῦ θεοῦ καὶ καθαρισθὲν τῶν ἀνομησάντων εἰς αὐτὸν διὰ κενῶν ἐγκλημάτων μείζω τούτου τὸ ὄνομα μετὰ θάνατον ἐγνωρίσθη. Ἀλλὰ καὶ ἔσονται μέχρι συντελείας τοῦ αἰῶνος εἰς εὐδοκίαν κατανύξεως τὰ λόγια τοῦ στόματος αὐτοῦ καὶ ἡ μελέτη τῆς καρδίας αὐτοῦ ἐνώπιον τῶν ἀνθρώπων διὰ παντὸς ὅτι καὶ βοηθὸς εὐφροσύνης καὶ λυτρωτὴς ῥαθυμίας καὶ παρεγγυητὴς μετανοίας πᾶσιν ἐγένετο θεοπαρόχως· ἠράσθη γὰρ Κύριος τοῖς λόγοις αὐτοῦ, ηὐφράνθη τοῖς ἔργοις αὐτοῦ, κατεδόξασε τὴν ἐν τῷ κόσμῳ ζωὴν αὐτοῦ, ὑπερανεβίβασε τὴν μετεκβιώσει τελευτὴν αὐτοῦ, ἐδοκίμασεν αὐτὸν ἐπὶ ψευδομαρτύρων ἀντιλογίας, ἐδυνάμωσε τὸν κατ' αὐτοῦ φατριασμόν, διὸ πρόσφορα καὶ ταῦτα λέγειν· ἐχθρὸς ὠνείδισε τὸν Κύριον, ἕνεκεν οὗ ὠνείδισε τὸν Χρυσόστομον Κυρίου. Λαὸς ἄφρων παρώξυνε τὸ ὄνομα αὐτοῦ χάριν δι' ὧν ἐλογίσαντο κατὰ τοῦ ἠγαπημένου μεγάλως ὑπὸ τοῦ θεοῦ. Εἶπαν τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, τίς ἐκζητήσει; Ὢ τοῦ φθόνου, ὢ τοῦ μίσους, ὢ τῆς ἀδίκου μανίας. Ἀληθῶς κατὰ τὸ γεγραμμένον καὶ τῶν τελείων ὁ μῶμος καθάπτεται. Πῶς οὐκ ἐνάρκωσαν τὸ καθαρὸν μεμψολογίαις στόμα τοῦ χρυσοῦ παραχαράξαι, τὰ χείλη τὰ ἅγια κατὰ προαίρεσιν καὶ οὐκ ἀπόδειξιν βεβηλῶσαι, τὴν γλυκύτητα παραπικράναι τοῦ κόσμου, τὸν πατέρα τῆς ἐκκλησίας ἀποκηρῦξαι σὺν τούτοις καὶ κατὰ τοῦ Κυρίου φρυαχθῆναι καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ κενὰ μελετῆσαι; Ἀλλὰ ταῦτα μὲν ζητεῖν ἡμέτερον οὐκ ἔστιν· οἶδε γὰρ ὁ Κύριος τοὺς ὄντας αὐτοῦ καὶ ὁ φοβούμενος τὸν Κύριον ἀποστήτω, φησίν· ἀπὸ ἀδικίας. Τῶν δὲ τοῦ Χρυσοστόμου καὶ πάλιν ἐπιλάβωμαι θριάμβων, κόρον γὰρ οὐκ ἔχει τὸ ἀνυμνεῖσθαι τὸν Χρυσόστομον, λέγω τὸν φίλον τοῦ θεοῦ. Κατάδηλον ποιῶ τὸν θησαυρὸν τῆς ἐκκλησίας, τὸν πλοῦτον τῆς ὀρθοδοξίας, τὸν χρυσὸν τῆς διδασκαλίας, τὴν δεξιὰν τῆς ἐλεημοσύνης, τὸν ἀντιφωνητὴν τῆς μετανοίας, τὸν ἐκδικητὴν τῆς ἀδικίας καὶ πάντων τῶν ἀρετῶν κατορθωτήν. Τί γὰρ ἔσχεν, ὅπερ οὐκ ἔλαβεν ἐκ τοῦ θεοῦ καὶ ὡς πάντα δυνηθεὶς λαβεῖν ὑπὸ τοῦ θεοῦ ὅλων ἀνελλιπὴς διὰ τοῦ θεοῦ τῶν ἀγαθῶν ἀνεδείχθη; Ὁ μετὰ τὸν βαπτιστὴν Ἰωάννην δεύτερος μετανοίας κῆρυξ, οὗ καὶ συνώνυμος καὶ συνδίαιτος τῇ πολιτείᾳ τοῖς ἀνθρώποις ἀνεδείχθη σὺν τῷ φωτίζειν ἐν βαπτίσμασι καὶ κολυμβήθρας καθ' ἡμέραν δακρύων συγκεράνας ἐν τῇ ἐκκλησίᾳ διὰ τῆς αὐτοῦ προσομιλητικῆς κατανύξεως. Τῇ γὰρ χρυσῇ τοῦ στόματος ἀξίνῃ, τουτέστι τῇ διστόμῳ αὐτοῦ τῶν χειλέων προφορᾷ, τὰς ἀκάρπους πρὸς ἐπιστροφὴν ἀνακόψας ξηράδας ταῖς ἐρήμαις ψυ-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

χαῖς φωνὴ βοῶντος καὶ αὐτὸς γέγονεν ἐκκλησιαστική, ὁ μετὰ τὸν θεολόγον καὶ εὐαγγελιστὴν τρίτος ἐν ἔργῳ καὶ λόγῳ φανεὶς Ἰωάννης οὗ κατὰ τὸ ὄνομα καὶ τὴν αἴνεσιν ἔσχε τῆς χρήσεως σαγηνεύσας ψυχὰς τῇ πίστει, ἁλιεύσας πρὸς ἀρετῶν κτήσεις τὰς πολυγενεῖς τῶν ἀνθρώπων ἄγρας, θεολογήσας τὸν Χριστὸν ἐξ αὐτοῦ κυρίως τοῦ πνεύματος αὐτοῦ· στῆθος γὰρ Χριστοῦ τὸ πνεῦμα τὸ ἅγιον· λέγει γὰρ αὐτὸς ὁ Χριστός· τὸ πνεῦμα ἐξ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν. Τὸ δὲ λαμβάνει δηλοῖ τὸ ἀρύεσθαι καὶ ἀντλεῖν ὡς ἀπὸ πηγῆς. Βροντῆς υἱός ὁ θεολόγος, εἰς πᾶσαν τὴν γῆν ἐξάκουστος τοῦ Χρυσοστόμου ὁ φθόγγος, ὁ μετὰ τοὺς ἁγίους ἀποστόλους τρισκαιδέκατος μαθητὴς τοῦ Χριστοῦ, μὴ χρυσὸν καὶ αὐτὸς ἐν ζώναις βαστάζων, ἀλλὰ στόμα χρυσοῦν χαριτωθεὶς ἔχειν πρὸς νουθεσίαν, ὁ μετὰ Παῦλον τὸ τῆς ἐκκλησίας σκεῦος, ὡς ἀπὸ τῆς τῶν ἐκείνου φλεβῶν ἐκκεχυμένης χάριτος ποταμός, ὁ μετὰ μαρτύρων οὐχ ἧττον ταῖς ὑπομοναῖς ἀθλοφόρος, ἐλιθάσθη ταῖς λοιδωρίαις, ἐπρίσθη ταῖς διχοστοσίαις, ἐπειράσθη ταῖς ἐπηρείαις, φόνῳ μαχαίρας πλειστάκις, ὑπὲρ δικαιοσύνης ἀπέθανε, περιῆλθεν ἐν ἀδίκοις στόμασιν, ὑστερούμενος ὁ μηδέποτε περισσευθείς, θλιβόμενος ὁ πάντοτε τῶν ἐν θλίψει γεγονὼς παραμυθία, κακουχούμενος ὁ τὴν νέκρωσιν ἑκάστοτε τοῦ Χριστοῦ ἐν τῇ ἰδίᾳ φορέσας σαρκί, οὗ κατ' ἀλήθειαν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν πελάγει συμφορῶν ταραχθείς, ἐν βυθῷ κατηγόρων κατενεχθείς, ἐν γυμνότητι τῆς ἐκκλησίας κατακριθείς, ἐν δίψῃ καὶ πείνῃ τοῦ οἰκείου χάριν κατολιγωρήσας ποιμνίου, ἐν ἐρημίαις ἀπενεχθείς, ἐν ὄρεσι δυσβατήσας, ἐν οἰκοπέδοις αὐλισθείς, ἐν σπηλαίοις καὶ ὀπαῖς τῆς γῆς συγκλεισθείς, δὶς ἐξορισθείς, τρὶς φατριασθείς, περὶ ὧν μαρτυρηθεὶς διὰ τῆς πίστεως ἐπέτυχεν οὗτος καὶ πρὸ τῆς ἐπαγγελίας τοῦ αἰωνίου μισθοῦ, ὡς τοῦ θεοῦ περὶ τῶν ἐν βασιλευούσῃ κατοικούντων κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς τῶν ἑαυτοῦ προβάτων ὁ ποιμὴν ἀναπαύηται κατὰ τὰ ξένα. Ὅθεν ἡ προσαχθεῖσα τῷ Χρυσοστόμῳ πατρὶ διὰ κενῆς ὡς γέγραπται τῶν ἀνομησάντων εἰς αὐτὸν πρὸς τὴν ἐξορίαν ἔξοδος οὐκ ἐλογίσθη τούτῳ διωχθέντι κάκωσις, οὐδὲ πάλιν ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, ὅτι περ ἐφύλαξε Κύριος πάντα τὰ ὀστᾶ αὐτοῦ. Ἓν ἐξ αὐτῶν οὐ συνετρίβη· καθάπερ γὰρ καὶ τὰ πατριαρχικὰ τοῦ Ἰακὼβ ὀστᾶ ἐκ τῆς τῶν Αἰγυπτίων ἀνακομισθέντα χώρας κατὰ τὴν γῆν τῆς ἐπαγγελίας τοῖς πατράσιν αὐτοῦ κατατεθέντα συνεταφιάσθησαν, οὕτως καὶ ὁ Χρυσόστομος εἰς ἀλλοτρίαν ταφεὶς παροικίαν, εἰς τὴν τῶν πατέρων αὐτοῦ καὶ ἀποστόλων τοῦ Χριστοῦ μετετέθη σήμερον ἐκκλησίαν. Διὸ καὶ ἐν ἡμέρᾳ τῆς ἐπισκοπῆς τοῦ Κυρίου λάμψει τούτου τὸ φῶς καὶ οἱ σπινθῆρες αὐτοῦ, καθά φησιν ἡ Γραφή, ἐν καλάμῃ τῶν ἐχθρῶν αὐτοῦ δραμοῦνται ὅτι χάρις ἐν αὐτῷ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

καὶ ἔλεος ὡς ἐκλεκτῷ τοῦ θεοῦ καὶ οἱ ἀσεβήσαντες εἰς αὐτὸν ἕξουσιν ἐπιτιμίαν, ὅτι παιδείαν αὐτοῦ καὶ σοφίαν ἐξουθενήκασι καὶ ἡ ἐλπὶς αὐτῶν, ὡς γέγραπται, καὶ οἱ κόποι ἀνόητοι καὶ ἄχρηστα τὰ τούτων ἔργα, κατὰ δὲ τὸ γεγραμμένον καὶ περὶ τούτου ἐνέμειναν οἱ πιστοὶ ἐν τῇ πρὸς αὐτὸν ἀγάπῃ καὶ οἱ πεισθέντες τῶν λόγων αὐτοῦ συνῆκαν ἀλήθειαν. Ὁ μετὰ πατριαρχῶν μείζων πατριάρχης καὶ δικαίων πλείων δίκαιος καὶ μετὰ ὁσίων ὁσιώτερος καὶ μετὰ προφητῶν σεβασμιώτερος. Ὁ μετὰ μοναχῶν ὑπερεγκρατής. Εἰς ὅλα μοναχὸς καὶ καθηγητῶν ὑπερθαύμαστος, ἐν πᾶσιν ἡγούμενος, ὁ μετὰ προβάτων ποιμὴν καὶ μετὰ ποιμένων ἀρνός, ὁ μετ᾽ ἀσκητῶν ἀναχωρητὴς ἐγκόσμιος καὶ μετ᾽ ἀναχωρητῶν ἰδιάζων ὀχλούμενος· οὐκ ἦν γὰρ ὁ ἀκούων τὸν λόγον αὐτοῦ ἐν ἐκκλησίαις ὅστις πρὸς ἀποταγὴν τῶν φθαρτῶν ἐλθεῖν οὐ κατενύγετο, εὐλαβὴς ἀντὶ κοσμίου μεταποιούμενος, εἰρηνικὸς ἀντὶ θυμώδους ἐναλλασσόμενος, σώφρων ἐξ ἀκολάστου μετατιθέμενος, ἐλεήμων ἐξ ἀμεταδότου γινόμενος, ἐξ ἀμετανοήτου κατανυκτικός, ἐξ ἀπίστου πιστός, ἐξ ἀνοήτου γνώστης, ἐκ πεπωρωμένου διακριτικός, βίᾳ φύσεως πρὸς τὸ ἀγαθὸν ἕκαστον μετιχνηλατούμενος δι᾽ αὐτοῦ τὸ πολίτευμα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Φυλ. 370β – 376β

*Κοσμᾶ Βεστίτωρος ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ ἐν ἁγίοις πατρὸς Ἰωάννου τοῦ Χρυσοστόμου καὶ περὶ τοῦ ἀπολογητικοῦ τοῦ βασιλέως ἐκ προσώπου τῆς ἑαυτοῦ μητρὸς καὶ παντὸς τοῦ πλήθους τοῦ λαοῦ τῆς πρὸς Θεὸν καὶ τὸν ἅγιον ἐκτελεσθείσης δοξολογίας. Εὐλόγησον πάτερ.*

Ἤκουσται πάντως ὑμῖν, ὦ φιλόπιστος πανήγυρις καὶ φιλάγιον ἄθροισμα, τὰ μεγαλεῖα τοῦ θεοῦ καὶ τοὺς λίθους αὐτοὺς κεκραγέναι, τουτέστιν ὅτι καὶ οἱ λιθίνης καρδίας ἀνάμεστοι ἐξ αὐτῆς εἰπεῖν τῆς φύσεως δοξολογεῖν τὸν θεὸν ἐκπαιδεύονται καὶ πάλιν ὅτι περ ἐπὶ τῶν δωμάτων αἱ ἀρεταὶ καὶ οἱ βίοι τῶν δούλων τοῦ θεοῦ λαλοῦνται πολυθαυμάστως. Ὄκνον τοιγαροῦν ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἀκηδίαν φιλοκροάμονα σπουδὴν τοῖς περὶ Χρυσοστόμου καὶ αὖθις διηγήμασι παρασχεῖν ἐπινεύσατε· ἀγαθὸν γὰρ τὸ ἐντρυφᾶν ταῖς τῶν τούτου ἐπαίνων προαναμνήσεσιν· ἥκω γὰρ ὑμῖν φέρων καὶ τὸν τέταρτον τούτου λόγον τῆς μεταθέσεως τοῦ ἁγίου, φιλόχριστοι, τοῦ δρόμου μὲν εὐλαβούμενος τὴν βαλβῖδα, τῷ δὲ θεῷ πεποιθὼς τῇ ἐλπίδι· ὅθεν καὶ νῦν τὴν νύσσαν τοῦ λόγου ἡ πρὸς τὸν ἅγιον ὕμνο

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

λογία φθάσαι προθυμουμένη, τὸν πῶλον τοῦ λογισμοῦ κατακεντήσει ἐπὶ τὸ στάδιον τῆς ἐπιτυχίας εὐκτικῶς ἐπειγομένη· ὥσπερ δὲ οἱ τὰ ῥόδα τρυγῶντες ἐπὶ τὸ ἑτέρους τῇ ὀσφρήσει τῆς εὐωδίας θεραπεῦσαι οὗτοι πρῶτοι τῆς εὐωδίας μεταλαμβάνουσιν, οὕτω κἀγὼ τῆς εὐωδίας τῶν τοῦ πατρὸς πρῶτος μεταλαμβάνω κατὰ τὸ ἐμοὶ δυνατὸν καὶ ὑμῖν μεταδίδωμι. Ἀλλ' ἀνάσχου τῆς ἡμῶν προπετείας, Χρυσόστομε, ἐπίδος κἀμοὶ σαὐτὸν ὡς ἐπέδωκας τῇ πίστει τῶν ἀνακομισάντων τὸ σῶμά σου. Μεινάτω καὶ παρ' ἡμῖν τὸ πνεῦμά σου σήμερον. Ἐμφάνισον ἡμῖν τῶν ἁγιασμῶν σου τὴν χάριν καὶ δίδαξον ἡμᾶς ἃ δεῖ λαλεῖν καὶ πάλιν περὶ σοῦ, ἐπειδὴ καιρὸς λοιπὸν καὶ τῆς μεταθέσεώς σου δοξολογῆσαι τὴν χάριν ποία τε τοῦ ζῆν σε κατὰ θεὸν καὶ ὑπὲρ αὐτοῦ ἀποθανεῖν γέγονε προθυμία. Ὁ γὰρ κατὰ θεὸν ζῶν καὶ ἀποθνήσκων ζῇ, ὁ δὲ μὴ ζῶν θεαρέστως καὶ πρὸ τελευτῆς θανατοῦται. Οὐκοῦν καλὸν τὸ ζῆν ἐν Χριστῷ, ἀλλὰ καὶ τὸ ἀποθανεῖν διὰ τὸν Χριστόν, ὡς γέγραπται, κέρδος. Ἐπεὶ διατί μνήμη δικαίου μετ' ἐγκωμίων, εἰ μή τοι γε καὶ τελευτήσας ὁ θεοσεβὴς ἀνὴρ ἐπαινεῖται; Τοιοῦτος ὁ πατὴρ ἡμῶν Χρυσόστομος, δι' ὃν ὑμῖν τοῦτο τῆς περὶ αὐτοῦ ὑποθέσεως τὸ ἀληθινὸν καὶ ἔκθαμβον τοῦ λόγου συμπέρασμα ποιήσομαι. Οὐκ ἔστιν ὁ θεὸς ἄδικος ἐπιλανθάνεσθαι κατὰ τὸ γεγραμμένον ἔργου δικαιοσύνης ἀνθρώπου. Ὥσπερ οὖν μετὰ τὴν ἐξ Αἰγύπτου μετοικεσίαν τοῦ Ἰσραὴλ ἀπέδωκε τοῖς ἀπογόνοις τοῦ Σὴμ τὰ παρὰ τῶν Χαναναίων ἐν τῇ χώρᾳ τῆς Παλαιστίνης δίκαια, οἷς διὰ τῶν φυσικῶν υἱῶν αὐτοῦ ὁ πατὴρ τούτων καὶ τοῦ κόσμου κληρονόμος Νῶε μεθ' ὅρκων ἀσφαλείας μετὰ τὸν κατακλυσμὸν ἐμέρισε διαθήκην τοῦ μὴ καιρῷ ποτέ τινι τὰ ἀλλήλων καθαρπάζειν κτήματα καὶ ἀνομίαις ὡς ἀπ' ἀρχῆς καὶ αἵμασι τὴν γῆν καταμολύνειν, οὕτως καὶ ἐπὶ τοῦ Χρυσοστόμου πατρὸς ἡμῶν ὁ διακρίνων πεποίηκε θεός. Ὡς γὰρ τῷ Σὴμ μετὰ δέκα καὶ ὀκτὼ γενεὰς τὰ τῆς κληροδοσίας ἀποκατέστησεν ἴδια, οὕτω καὶ τῷ Χρυσοστόμῳ μετὰ τριάκοντα καὶ τρεῖς χρόνους τὸν οἰκεῖον ἀπέδωκε θρόνον, ἵνα μὴ τοὺς πόνους αὐτοῦ τῆς διδασκαλίας ἀκληρονομήτως ἡ κτίσις αὐτοῦ ζημιωθῇ. Καὶ γὰρ κατὰ τὸ γεγραμμένον εἰς πολλὰς γενεὰς διεκδικῶν οὐ λανθάνει μακροθυμῶν ὁ θεὸς ὁ κατὰ τὸν τοῦ Μωϋσέως θάνατον καὶ τὸ πνεῦμα τοῦ Χρυσοστόμου μετατεθεικὼς πατρός· ἀντὶ γὰρ τοῦ ἀκοῦσαι ἀνάβηθι εἰς τὸ ὄρος κἀκεῖ τελεύτα, ἔξελθέ, φησι, Κωνσταντινουπόλεως, Χρυσόστομε, καὶ πρὸς ὀλίγον τῆς Κομάνων καταλαμβάνων πόλεως ἐκεῖ μετάστηθι τοῦ βίου τοῦ φθαρτοῦ· ἐπανακάμψεις γὰρ μετά τινας καιροὺς ὅθεν ἀπηλάθης· διότι θεὸς ἐκδικήσεων ἐγὼ καὶ Κύριος ἐκζητῶν διωκόμενον. Καὶ ἐπειδὴ ἀδύνατον ψεύσασθαι θεὸν οὕτως συμβέβηκε τῷ Χρυσοστόμῳ πατρί. Πρόκλου γὰρ τοῦ ἀοιδίμου τὸν πατριαρχικὸν τῆς βασιλίδος πόλεως διιθύ-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

νοντος θρόνον μετὰ κθ' τοῦ διωγμοῦ τοῦ ἁγίου χρόνους κατασταθέντος τῆς ἐκκλησίας προέδρου, τοῦ λαοῦ μηκέτι τὸν ὀδυρμὸν ὑποφέροντος ἀκούειν διὰ τὸ μὴ τὸν Χρυσόστομον τῇ τῶν διπτύχων ἀναφέρεσθαι μνήμῃ καὶ τὴν ἐκκλησίαν εἰς σχίσματα περιελθοῦσαν ὁρᾶν ἀδολεσχοῦντος ἐν τῷ τετάρτῳ ἔτει τῆς αὐτοῦ ἀρχιερωσύνης εὐθέτου δραξάμενος καιροῦ δῆλα ταῦτα τῷ βασιλεῖ πεποίηκε Θεοδοσίῳ τῷ νέῳ. Ἦν δὲ λέγων αὐτῷ οὕτως· Εὐδοξίας μὲν σαρκικῶς καὶ ἐκ θελήματος ἀνδρὸς τέκνον ὑπάρχει ὁ νῦν κρατῶν τῆς βασιλείας, πνευματικὸς δὲ καὶ ἀπὸ κολυμβήθρας υἱὸς τοῦ Χρυσοστόμου πατρός. Ἕνεκεν δὲ τούτου πρὸς τὴν παράκλησιν ὀχυρωθεὶς ὁ θεοφόρος Πρόκλος παρρησίᾳ τὸ συμφέρον τῇ βασιλείᾳ καὶ τῇ πόλει συνιστάνων καὶ τὸν κόσμον εὐεργετῶν προσανατίθεται Θεοδοσίῳ τοιαῦτα πρὸς αὐτὸν μεσιτεύσας· ζήτησον, βασιλεῦ, τὸν σὲ διὰ πυρὸς καὶ ὕδατος, ὅταν ἀνεκαινίζου διὰ τοῦ βαπτίσματος, γεγεννηκότα καὶ ταῖς ἱεραῖς ἀγκάλαις, καθάπερ Συμεὼν ὁ πρεσβύτης, ἐν νόμῳ Κυρίου μετὰ τὸ βάπτισμα πατρικῶς ἀναδεδεγμένον. Ἡ ἐκκλησία βοᾷ σοι· ἡ στολή μου διέσχισται, τὸ στόμα συγκέκλεισται, τὸ κάλλος ἠμαύρωται, ἐλυμήνατο μονιὸς ἄγριος τὸν ποιμένα τῶν προβάτων μου Χρυσόστομον καὶ ὕες φθινοπῶροι τοὺς καρποὺς τῶν χειλέων μου. Ἐβεβήλωσε φθόνος τὸ ἁγίασμα τοῦ λειτουργοῦ μου. Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν αὐτὸν ἀπ' ἐμοῦ. Ἐπὶ τὸ αὐτὸ ἐν μνήματι καὶ μετοικεσίᾳ ξένῃ κατέρρηξαν αὐτόν. Εἶπον αἱ συγγένειαι τῶν αἱρετικῶν ἐπὶ τὸ αὐτό· καταπαύσωμεν τὸ στόμα τὸ λαλῆσαν πολλὰ καθ' ἡμῶν. Ἠτιμάσαμεν τὸν χρυσὸν αὐτοῦ, οὐκ ἔστιν ἔτι ὁ διδάσκων καὶ ἡμᾶς συστομίζων λοιπόν. Ἕως πότε, βασιλεῦ, διὰ τὸν Χρυσόστομον ὀνειδιεῖ ὁ ἐχθρός; Ἀπόδος μοι τὸν ἀντιπρόσωπον τοῦ νυμφίου Χριστοῦ. Ἀποκατάστησον τῇ μητρί σου τὸν πνευματικόν σου πατέρα· Κἂν ἡ σαρκική σου μήτηρ Εὐδοξία τοῦτον με ἐζημίωσεν ἀσπλάγχνως, σαρκὸς σὺ μὴ ζηλώσῃς προαίρεσιν, ἀλλ' ἁγιασμὸν πνεύματος, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. Παρῆλθεν ἡ Εὐδοξία, μένει διηνεκῶς ἡ ἐκκλησία. Ἐγώ σου μήτηρ αἰωνίζουσα, χαροποίησον μου τὰ πρὸς τὸν Χρυσόστομον σπλάγχνα, ὅπως κἀμὲ μεσιτεύουσάν σοι τὰ πρὸς τὸν θεὸν σχῇς καὶ τοῦ Χρυσοστόμου τὴν ψυχὴν πρεσβεύουσαν κτήσῃ περὶ σοῦ. Ἀλλὰ γενοῦ δικαιοσύνης υἱὸς καὶ προσευχῆς στηριγμός. Ταῦτα τοίνυν τοῦ Πρόκλου ὡς ἐκ προσώπου τῆς ἐκκλησίας τῷ βασιλεῖ μεμηνυκότος καὶ εἰ πρὸς τὸν θρόνον, φησί, τὸν ἴδιον τὸ σῶμα τοῦ Χρυσοστόμου κελεύσεις μετακομισθῆναι, συντόμως οὐ μόνον τὰς ἐκκλησίας ἑνώσεις, ἀλλὰ καὶ τὴν πίστιν κραταιώσεις. Πείθεται ταύταις ταῖς παραινέσεσιν ὁ βασιλεύς, ὃς παρευθύς τινας τῶν ἐπ' εὐλαβείᾳ γνωρίμων καὶ χρησίμων τῆς συγκλήτου τάξας κελεύσεις τε τούτοις ἐγχειρήσας ἀπολύει τοὺς ἄνδρας ἐν Κομάνῃ σὺν καὶ γλωσσοκόμῳ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

πάντοθεν περιηργυρωμένῳ προστάξας διὰ τάχους γενέσθαι κατὰ τὴν λεχθεῖσαν πόλιν καὶ τιμῇ πολλῇ τὸ λείψανον ἄραντας τοῦ ἁγίου τῇ ἐκ χώρας εἰς χώραν καὶ ἐπαρχίας εἰς ἐπαρχίαν ὑπαλλακτικῇ φωταγωγίᾳ καὶ ψαλμῳδίας διαδοχῇ καὶ τῇ λοιπῇ κατὰ τὴν ὁδὸν χρειώδει δορυφορίᾳ ἀνακομίσαι τοῦτο πρὸς αὐτόν. Πεφθάκασιν οὖν οἱ ἐπὶ τοῦτο σταλέντες τοιαῦτα πρὸς τοὺς ἐν Κομάνῃ κατοικοῦντας διεξελθόντες· ποῦ τεθήκατε τὸν φωστῆρα τοῦ κόσμου Χρυσόστομον; εἴπατε ἡμῖν ποῦ ἡ τῆς ἀναπαύσεως κεῖται ζύμη, ποῦ ἡ βασιλικὴ κέκρυπται δραχμή, ποῦ ὁ τῆς ἐκκλησίας κέχωσται μαργαρίτης; Λέγετε ἡμῖν ποῦ οἱ γρηγοροῦντες ὑπνοῦσιν ὀφθαλμοί, ποῦ ἡ ἡδύφθογγος λύρα σιωπᾷ, ποῦ ὁ τῆς διδασκαλίας φυλάττεται θησαυρός, ποῦ ὁ ἔμψυχος ἐβαλαντώθη χρυσός, ποῦ ὁ ἔνσαρκος κατεκερματίσθη πλοῦτος, ποῦ ὁ δόκιμος ταμιουχεῖται τῆς εὐχρηστίας ἄργυρος καὶ ποῦ τὸ ὑπερβλύζον ἐχωνεύθη στόμα; Οὐ κλέψαι τὸν οὐ κλέπτην ἀλλὰ φανερῶς λαβεῖν τὸν καλὸν παραγεγόναμεν ποιμένα. Ὁ τῶν ἐπιγείων ἀνακτορικῶς κατάρχων νεύματι τοῦ ἐπουρανίου βασιλέως ἡμᾶς ἐξαπέστειλε λέγων· πορεύεσθε εἰς τὴν Κόμαναν πόλιν καὶ εὑρήσετε ἐκεῖ τὸν οἰκουμενικὸν διδάσκαλον καὶ κοσμικὸν πατέρα Χρυσόστομον ἐν μνήματι ἔξω μικρὸν τοῦ ἄστεος κατακείμενον. Ἄραντες αὐτὸν φέρετε πρός με καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε πρὸς αὐτόν· ἡ θυγάτηρ τοῦ βασιλέως τῶν βασιλευόντων καὶ μήτηρ πασῶν τῶν ἐκκλησιῶν ἐκκλησία ὥσπερ κροσσῷ τὸν χρυσοῦν τῆς ἰδίας ὡραιότητος ζητεῖ τοῦτον περιβαλέσθαι. Ἐλυπήθησαν οἱ Κομάνης λαοὶ τούτων ἀκηκοότες, ὑποδεικνύουσι τοῖς βασιλικοῖς ἀνδράσι τὸν τάφον ἀνατινάξαι τοῦτον· αὐτοὶ γὰρ τὴν ἰδίαν ζημίαν ὑπεστάλησαν αὐτουργῆσαι. Ἀναρρώννυνται τοῦ Χρυσοστομικοῦ σώματος οἱ διασῶσται, ἀνακομβοῦνται τοὺς ἑαυτῶν χιτῶνας, καθάπερ οἱ ἐπὶ τὸ Πάσχα τῆς εὐωχίας Ἰσραηλῖται, ἐγχειροῦσι τῇ ἀφῇ τοῦ ὀρύγματος χαίροντες ὁμοῦ καὶ τρέμοντες χαρᾷ διὰ τὴν ἐπιτυχίαν, τρόμῳ διὰ τὸ ἀνάξιον. Ἀποκυλίουσι τὸν λίθον τοῦ μνήματος ὡσεί τινες λέγειν ἄγγελοι σαρκικοὶ τῷ ἀντιτύπῳ τοῦ Χριστοῦ καθυπουργοῦντες, τῷ Χρυσοστόμῳ. Ὁ τάφος ἀναπτύσσεται, ὁ οὐρανὸς παρανοίγεται, παρέκυψαν ἄγγελοι ἠγαλλιάσαντο ἄνθρωποι, ἐσκίρτησεν ἡ γῆ καί, ὡς ἡ παράδοσις ἔχει, εἰς στήλην κοιμωμένου λίθου μεταποιηθὲν τοῦ ἁγίου τὸ λείψανον εὗρον. Γνόντες δὲ μὴ ἐπιδοῦναι τούτοις ἑαυτὸν εὐδοκήσαντα τὸν Χρυσόστομον ἠδολέσχησαν, κατῃσχύνθησαν, τρόμος ἐπελάβετο αὐτοὺς καὶ ἀρξαμένων κλαίειν μετεκιρνῶντο τῶν Κομάνης λαῶν ἐπ' αὐτῷ τὰ δάκρυα καὶ ταπεινούμενοι δημοσίως ἐξωμολογοῦντο λέγοντες· οὐχ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὅταν ἀναξίως διανοίγειν τὸ μνῆμα κατετολμῶμεν. Πολλῷ τοιγαροῦν τῷ τάχει τῷ βασιλεῖ τὸ πραχθὲν ἀναφέρουσι. Στενάζει τούτων ἀκούσας ὁ βασιλεύς. Ἀπορεῖ τί διαπράξασθαι.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

Σοφίζει τοῦτον διὰ τὴν πίστιν ὁ θεὸς τί πυιήσει. Προσκαλεσάμενος γὰρ τὸν πατριάρχην καὶ τὸν ἅπαντα λαόν φησι πρὸς αὐτούς· ὑπολαμβάνω μὴ κατὰ παραίτησιν ἀνανεῦσαι πρὸς ἡμᾶς ἐλθεῖν τὸν Χρυσόστομον, ἀλλὰ κατ' αὐθεντίαν, ὅτι δυναστείᾳ τοῦτον μετενέγκαι κατηυθαδιάσαμεν. Ἐνδεεῖς αὐτοῦ τοίνυν τυγχάνοντες δεῦτε καὶ παρακλήσει τὴν ἐπίνευσιν αὐτοῦ ζητήσωμεν. Ἤρεσε δὲ πᾶσιν ἡ βασιλικὴ βουλὴ καὶ ἐπῄνεσαν εἰπόντες· ἀκριβῶς καρδία βασιλέως ἐν χειρὶ θεοῦ. Καὶ λαβὼν χάρτην ὁ βασιλεὺς ἐξ ἰδιοχείρου τὴν δέησιν ἐποιήσατο περιέχουσαν οὕτως τῷ οἰκουμενικῷ διδασκάλῳ καὶ πνευματικῷ μου πατρὶ Ἰωάννῃ, τῷ ἁγίῳ καὶ χρυσοστόμῳ πατριάρχῃ, Θεοδόσιος βασιλεύς. Ὡς νεκρόν σου τὸ σῶμα κρίνας καὶ κελευστικῶς ἀνακομίσαι τοῦτο διαπεμψάμενος τοῦ ἐσπουδασμένου τυχεῖν δικαίως ἐκωλύθην. Ἰδοὺ νῦν ὡς πρὸς ζῶντα τὴν παροῦσάν μου καὶ χειρόγραφον πέμπομφα δέησιν αἰτῶν συμπαθῆσαι τῇ ἐμῇ καὶ τοῦ λαοῦ σου πίστει. Σύγγνωθί μοι τῷ τὸ βάθος τῆς σῆς μὴ προκαταλαβόντι σοφίας. Νῦν δὲ ἐπέγνων καὶ βίας ἐκτὸς ἱκετεύω καὶ οὐ κελεύω· μὴ ἀποστραφείην τὸ δεύτερον κατῃσχυμένος. Ἐπίδος σεαυτὸν τοῖς ποθοῦσί σε. Ἐλθὲ μετ' εἰρήνης εἰς τὰ ἴδια. Καὶ οἱ ἴδιοί σου προθύμως σε παραλαμβάνουσι. Ταῦτα γράψας καὶ ὑπαναγνοὺς παντὶ τῷ λαῷ ἐπιδίδωσιν αὐτὰ τοῖς ταχυδρόμοις ἐντειλάμενος ἀνοίξαντας τὸ μνῆμα τῷ στήθει τοῦ ἁγίου πρὸ μιᾶς ἡμέρας παννυχικαῖς ψαλμῳδίαις καταθέσθαι. Φθάνουσιν οἱ σταλέντες τῇ Κομάνῃ. Πληροῦνται τὰ κελευσθέντα παρὰ τοῦ βασιλέως. Ἐπικάμπτεται τοῖς δεηθεῖσιν ὁ Χρυσόστομος. Ἐναλλάσσεται τὸ δοκεῖν ὁ λίθος εἰς τὸ ἴδιον καὶ φυσικὸν σῶμα. Ἅπτονται αὐτοῦ γεγηθότες οἱ προστεταγμένοι. Συνεπικουφίζει τούτοις ἑαυτὸν ὁ πατήρ. Ἐξίστανται πάντες ἐπὶ τῷ πραχθέντι. Καταφιλοῦσι τὸν ἅγιον. Λούουσι τοῦτον τοῖς δάκρυσιν. Εὐωδιάζουσι τοῖς μύροις. Ἐκφέρουσι τῆς θήκης καὶ συνταξάμενος νοητῶς τοῖς ἐν Κομάνῃ ὑπέδυ πρὸς τὸ βασιλικὸν γλωσσόκομον ὡς εἰς τον τοῦ Χριστοῦ προσαναπαύεσθαι νυμφῶνα. Παρῆσαν πάντοθεν οἱ ὄχλοι. Αἱ λαμπάδες αὐτῶν ὡς ἐπίγεια φωτὸς ἄστρα, οἱ ὕμνοι, σύμφωνος ἡ δοξολογία, ἰσοκάματος ἡ φωνή, κατὰ γάρ βῆμα καὶ φθέγμα ψαλμοῦ, καὶ ὄκνος οὐδεὶς ὅτι κόρος οὐδὲ εἰς πρὸς τὸν ἅγιον. Χαρὰ τοῖς ἀντιλαμβάνουσιν αὐτοῦ τὸ λείψανον, λύπη τοῖς ἀντιπαραδιδοῦσιν αὐτοῦ τὸ σκήνωμα, πρὸς δὲ τὴν πίστιν ἴσος τοῖς ἑκατέροις ὁ μισθός. Οὕτως δὴ τὰς ἐπαρχίας ἀμοιβαδὸν διανύσαντος τοῦ λειψάνου καὶ τὸν ναύσταθμον Χαλκηδόνος πεφθακότος γνοὺς ὁ πιστὸς τοῦτο βασιλεὺς Θεοδόσιος καὶ ὁ σεπτὸς καὶ φιλοχρυσόστομος πατριάρχης Πρόκλος σὺν πάσῃ τῇ συγκλήτῳ καὶ τῷ φιλοθεάμονι παντὶ λαῷ ἐξῆλθον πρὸς συνάντησιν τιμητικῶς τοῦ ἁγίου συνεξαγαγόντες ἑαυτοῖς κεκοσμημένον δρομικὸν σκάφος, ἐν ᾧ τὸν ἅγιον

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ἐμβαλέσθαι συνετίθεσαν. Καὶ γίνεταί τις ἄφνω δι' οἰκονομίαν βιαίας πνοῆς ἀνεμικὴ λαῖλαψ καὶ τρικυμίας συστροφὴ καὶ πάντων ὡς εἰπεῖν τῶν πλοιαρίων τῇδε κἀκεῖσε κατὰ τὴν πόλιν διασκορπισθέντων μένει μόνος ὁ πρὸς ὑποδοχὴν τοῦ Χρυσοστόμου δρόμων· διαρρήξας γὰρ τὸν δεσμὸν τῆς παρολκάδος μέσον τοῦ διάπλου σκαρίζων ἐφέρετο. Καὶ ἦν ἰδεῖν θέαμα θαυμαστόν· χωρία γὰρ χειρῶν ἀνθρωπίνων διαπορθμευθεὶς ὁ δρόμων τῇ παρατάσει τοῦ αἰγιαλοῦ Χαλκηδόνος κατά τινα τόπον ἐμβολῆς αὐτομάτως προσώρμησε καὶ εὑρέθη τῆς ὁρμησίας ἡ τοποθεσία, ἡ σκάλα τοῦ ἀγροῦ τῆς χήρας ἐκείνης γυναικός, δι' ἣν ὁ Χρυσόστομος σκαιωρηθεὶς ἐξωρίσθη· ἵνα γὰρ τὸν ταύτης ἀμπελῶνα διεκδικήσῃ, ποτήριον θανάτου δι' αὐτὴν πιεῖν κατεκρίθη. Δι' ἣν τοιγαροῦν ἐδιώχθη, πρὸς αὐτὴν ὁ δρόμων ἐπώκειλε τοῦ Χρυσοστόμου. Βλέπεις, ἄνθρωπε, πῶς τὸ πλοῖον τοῦ ψυχικοῦ κυβερνήτου τῷ αἰγιαλῷ τοῦ προαστείου παρέστη τῆς χήρας εἰς μισθὸν ὡσανεὶ τῆς ἐκδικήσεως ἀποναυλωθὲν δῶρον τῷ ἁγίῳ καὶ πῶς κἂν ἡ Εὐδοξία τὴν χήραν ἐπλεονέκτησεν, ἡ θάλασσα τὸ σκάφος πρὸς ἀνταμοιβὴν τοῦ Χρυσοστόμου τῇ χήρᾳ προσήνεγκε καὶ πῶς ἡ ἄψυχος ναῦς τοὺς ἐμψύχους τοῦ πατρὸς κατηγόρους διελέγχουσα μετὰ χρόνους τοσούτους τὴν ἄδικον ἐκείνων ἐπιστοῦτο προαίρεσιν; Βαβαὶ τοῦ θαύματος, τὸ ἐκ ξύλων κατασκευασθὲν σκάφος τῇ δικαιοπραγίᾳ συνηγορεῖ τοῦ δικαίου καὶ οἱ λογικοὶ τὴν διάπλασιν παρανομίας κατασκευασταὶ κεχρηματίκασι τῷ δικαίῳ. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Ὅρα μοι τὴν θάλασσαν γαλήνης παγετῷ παρευθὺς καταστρωθεῖσαν καὶ τὸν πορθμὸν Χαλκηδόνος τοῖς ἀμέτροις τῶν σκαφῶν λεπτουργηθέντα σανιδώμασι καὶ βροντὴν ὑδατοκτύπου φωνῆς τοῖς τῶν κωπίων τροχαζομένην κατακρούσμασι. Σκόπει μοι καὶ πάλιν τὴν θάλασσαν τῇ τῶν θυμιαμάτων μυρίζουσαν εὐωδίᾳ καὶ τὸν βυθὸν τὰς τῶν λαμπαδούχων φώτων καταυγάζοντα μαρμαρυγὰς καὶ φέγγος ἀστραπῆς κυματιζόντων ὅπλων καὶ φῶς βολίδων ἐνύγρως εἰπεῖν διαπορευομένων. Ἐν τούτοις τῆς θαλάσσης μεταβληθείσης ἐπέβη πρὸς τὴν ναῦν ὁ ἅγιος. Ἔστησεν ἡ θάλασσα, κατὰ τὸ γεγραμμένον, τὸ ὅρμημα, ἐπεβίβασεν εἰς αὐτὴν τοὺς πόδας, ταράσσοντας ὕδατα πολλά, ἐσκόρπισεν ὕδατα πορείας ἀντὶ κόπων ὧν εἶδον τὰ ἴχνη τοῦ διωκομένου. Ἔδωκε δὲ φωνὴν αὐτῆς ἡ ἄβυσσος τῷ ὕψει τῆς δόξης φανταζομένη τοῦ ἁγίου καὶ τῶν ὕμνων τὰς κωπηλασίας ὑπερνικώντων καὶ τῆς τῶν κηρῶν αὐγῆς τὰς ἡλιακὰς ὑπερβαινούσης ἀκτῖνας κατασυρεὶς ὁ ψυχοτρόφος ἐκεῖνος στόλος τῷ ῥεύματι τὸ τοῦ ἀποστόλου καὶ ἁγίου Θωμᾶ τοῦ ἐπίκλην Ἀμαντίου παρέβαλεν αἰγιαλῷ, οὗ πρὸς τὸν ναὸν ἀπενεχθεὶς ὁ Χρυσόστομος καὶ μονὴν παρ' αὐτῷ ποιήσας ὁλονυκτὶ τοὺς ὕμνους ἐδέξατο. Ἐχρῆν γὰρ καὶ αὐτὸν οὐκ ἀπιστίας ἀλλὰ περιχαρίας ἐνε-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

κεν ψηλαφητὴν τῆς πλευρᾶς τοῦ Χριστοῦ διὰ τῆς ὑπὲρ αὐτοῦ μυστικῶς ἐπιτελεσθείσης τότε λειτουργίας γενέσθαι καὶ τῶν τύπων τῆς ὑπομονῆς τῶν δεσποτικῶν ἥλων ἐκεῖσε τὴν ἀνάμνησιν λαβόντα τὴν ἰδίαν ὑπομονὴν στεφανοῦσθαι βεβαιωθῆναί τε καὶ εὐχαρίστως καὶ αὐτὸν ἀνακράξαι· ὁ κύριός μου καὶ ὁ θεός μου. Εὐφράνθη καὶ ὁ βασιλεὺς ἐν τῇ δυνάμει τοῦ ἁγιασμοῦ τῆς τούτου παρουσίας. Ἀνοίγει περιχαρῶς τὸ γλωσσόκομον, εὑρίσκει τοῦτον ὡς ἐκ κλινοβάτου θέας ἠνθηρευμένον, ὡς τὸ κρίνον τὸ γεγραμμένον τοῦ Λιβάνου, ὡς τὸ ἐαρινὸν καὶ ὁλόφυλλον ῥόδον, ὡς τὸ μυρεψικὸν τῆς σκηνῆς τοῦ θεοῦ θυμίαμα, ὡς τὴν δρόσον τοῦ Ἀερμὼν ἐπὶ τὸν πώγωνα τοῦ Ἀαρών. Καταφιλεῖ πάντα τὰ μέλη καὶ τὴν πορφυρᾶν θερμῶς ἐκδυσάμενος χλαμύδα ἁπλοῖ ταύτην ὑπεράνωθεν τοῦ λειψάνου καὶ πεσὼν ἐπὶ τὸ στῆθος τοῦ Χρυσοστόμου ἐπταῖσθαι ἔκραξε, πάτερ, ἄφες τὸ παράπτωμα τῇ παραβούλως ἐνεχθείσῃ κατὰ σοῦ. Ἡ κατ' ἐκείνης ὑμῶν ἀγανάκτησις κοινωνόν με τῆς μητρικῆς ἀπεργάζεται βλάβης· ὁ γὰρ ὀμφακιασμὸς τῶν γονέων αἱμωδιασμὸς τοῖς τέκνοις διαφόρως φυλάττεται. Πλὴν κἂν ἀνετράπη τοῦτο παρὰ θεοῦ· ἔφη γὰρ διὰ τοῦ προφήτου μὴ εἶναι τὸ ῥῆμα τοῦτο, ἀλλὰ τοῦ φαγόντος τὸν ὄμφακα τοὺς ὀδόντας αἱμωδιᾶν, κάμπτω τὴν ὑπόληψιν, κἂν εἰ ἀθῷός εἰμι πρὸ σοῦ, οὐ γὰρ ἀνέχομαι διωκτρίας ἀρχιερέως τοιούτου κληθῆναι τέκνον. Ἀλλ' ἄνες τὴν ἁμαρτίαν ἐκείνην καὶ καθαρίζομαι τῆς ἐπιψόγου προλήψεως ἐγώ· διὰ γάρ τοῦτο καὶ τὸ σύμβολον τῆς βασιλείας μου τοῖς σοῖς ἐξήπλωσα γόνασιν ὑποτάξας εἰς πρεσβείαν σοι τὴν πᾶσαν ἐξουσίαν μου. Δέξαι δὴ τὴν πλημμελήσασαν εἰς σὲ δι' ἐμοῦ σοι φθεγγομένην τοιαῦτα· Συγχώρησόν μοι πάτερ ἅγιε καὶ οἰκουμενικὲ διδάσκαλε τῇ ἀδιακρίτῳ δυναστείᾳ λυπησάσῃ πολλά. Μεταμεμέλημαι κἀγὼ τοῖς πραχθεῖσιν, ἀλλ' οὐκ ἔστι μοι ὁ ἐλεῶν, οὐκ ἔστιν ὁ εἰσακούων τῆς φωνῆς μου, οὐκ ἔστιν ὁ λυτρούμενος μοι τῆς καταδίκης καὶ τῆς φθορᾶς, εἰ μὴ σὺ πρῶτος ἐπικαμφθεὶς ἐλεήσῃς με. Μνήσθητι ὧν ἐδίδαξας διὰ τὴν ἀμνησικακίαν λέγων. Ἐγερθῆναι τοῦ πτώματος ἐπιζητῶ. Ἀλλὰ δός μοι χεῖρα ὁ εἰπὼν ὁσάκις πέσῃς ἔγειραι καὶ σωθήσῃ. Οὐ βαστάζει με λυπεῖσθαί σε κατ' ἐμοῦ. Ἰδοὺ γὰρ καὶ τὸ μνῆμά μου διὰ σὲ σαλευόμενον συνθλᾷ τὰ ὀστᾶ μου καὶ δειλιῶ τὸ ὑπόδειγμα μὴ καὶ τὴν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ παρασαλεύσῃς μου στάσιν. Πολλοὺς ἔσωσας ταῖς διδαχαῖς σου καὶ μὴ καταλειφθῶ μόνη τῆς σῆς σωτηρίας ἐκτός. Μὴ ἀφήσῃς με κράζειν ὀπίσω σου, ἀλλ' ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου διαβόλου· αὐτὸς γὰρ παρεσκεύασε πταῖσαί σοι ὡς τὴν Εὔαν τῷ θεῷ. Μὴ παροργίζου κατ' ἐμοῦ διηνεκῶς καὶ ὃ μὴ ἐκτήσω κατὰ τὸν φθαρτὸν κόσμον, κατὰ τὴν ἄφθαρτον μὴ κτήσῃ ζωήν. Ὅταν ἔζων ἐγὼ τὴν φθειρομένην ζωὴν βλαπτική σοι κατεστάθην, ὅταν ζῇς αὐτὸς τὴν μὴ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ἐκλείπουσαν ζωὴν ψυχωφελὴς γενοῦ μοι Παρῆλθεν ἡ δόξα μου μὴ βοηθοῦσά μοι, βοήθησόν μοι, πάτερ, ἐν τῇ δόξῃ σου καὶ πρὸ τοῦ τὴν ἀπολογίαν τὴν διὰ σὲ κατὰ τὴν κρίσιν ἐπιζητηθῆναί με συγχώρησόν μοι τῇ ἀναπολογήτῳ πρός σε. Ταῦτα φήσας ὡς ἐκ προσώπου τῆς μητρὸς ὁ βασιλεὺς οὐκ ἤθελε τῆς κατανύξεως ἐνδοῦναι, οὐκ εὐψύχει τοῦ σώματος ἀνανεῦσαι τοῦ ἁγίου· ἡ γὰρ ὀσμὴ τοῦ παραδείσου τὴν ἡδύτητα τῷ βασιλεῖ χαριζομένη χρονίζειν αὐτὸν ἐν τῷ στήθει κατηνάγκαζε τοῦ Χρυσοστόμου. Ἐδροσίζετο δακρύων, ἐκουφίζετο στενάζων, παρεμυθεῖτο δυσωπῶν, ἐστηρίζετο καταφιλῶν, ζητῶν τι πρὸς ἀνάπαυσιν καὶ συννεκρωθῆναι τῷ ζῶντι τούτου λειψάνῳ. Κατεπλάγη βλέπων τὸν ἅγιον σῶον, ὁλόκληρον, οὐκ ἄχροον, οὐκ ἀηδῆ. Ὅθεν ἄλλος ἐξ ἄλλου γενόμενος περιφρονεῖ τῆς ἐξουσίας, ὑπερορᾷ τῆς βασιλείας κατανυγεὶς πρὸς ταῦτα. Τί φῶμεν ἡμεῖς; Συγκεχώρηκεν ὁ Χρυσόστομος πατὴρ τῇ βασιλίδι ταῖς τοῦ υἱοῦ ταύτης ἐπικαμφθεὶς παραινέσεσι; Ναὶ καὶ πάντως συγκεχώρηκεν· εἰ γὰρ ὁ Χριστὸς καὶ θεὸς ἡμῶν τοῖς τῆς πρωτομάρτυρος Θέκλης γονεῦσι διὰ τὰς ἐκείνης ὑπὲρ αὐτῶν ἱκεσίας ἀφῆκε τὰς ἁμαρτίας, ἄρα καὶ ὁ Χρυσόστομος ὡς τοῦ Χριστοῦ μαθητὴς τῇ Εὐδοξίᾳ διὰ τὰς τοῦ υἱοῦ δυσωπήσεις ἵλεως γέγονε. Καὶ πιστοῖ τοῦτο σαφῶς τὸ παρευθὺ μετὰ τοσούτους χρόνους ἐνδεδωκέναι τὸ ταύτης σαλεύεσθαι μνῆμα, τὸ ἀφ' οὗπερ ἐξωρίσθη τῆς ἐκκλησίας ὁ μακάριος μὴ παυσάμενον μέχρι τῆς ἀποκαταστάσεως τοῦ τιμίου αὐτοῦ λειψάνου ἐπὶ τριάκοντα καὶ τρεῖς χρόνους τρέμειν ἐν συσσεισμῷ. Τί δὲ καὶ ὁ πατριάρχης Πρόκλος; ἀσπασάμενος καὶ αὐτὸς ἐν φιλήματι ἁγίῳ τὸν δίκαιον, χαίροις ἐβόα, χρυσοφιλῆ πάτερ, διδακτὰ γλυκύτατε, σὸς ἐγὼ καὶ τοῦ γάλακτος τῶν σῶν εὐπότων ἀγγείων ἀνατροφή. Σὺ καὶ πρὸ ἐμοῦ ποιμὴν καὶ νῦν ποιμήν· σὰ γὰρ τὰ ἐμὰ πρόβατα· ἐκ σοῦ γὰρ αὐτοῦ αἱ τούτων ἀπ' ἀρχῆς ἀγέλαι καὶ οἱ μετὰ σὲ ποιμένες τὴν σὴν ἐμπορεύονται τῶν προβάτων ἐνθήκην, διὸ καὶ σὲ ποθοῦντα ἄλλῳ μετὰ σὲ ἀκολουθῆσαι προθύμως οὐκ ἠνέσχοντο ἔνθεν κἀκεῖθεν τοῖς ἐξαγγελισμοῖς ἀποκλίνοντα. Δεῖξον αὐτοῖς τὴν ὄψιν σου, ἀκούτισον αὐτοῖς τὴν φωνήν σου καὶ γενήσονται πάλιν μία ποίμνη τῆς σῆς ποιμνιαρχίας. Τούτων ἀκολούθως περατωθέντων ἠσπάσαντο καὶ οἱ λαοὶ τὴν ὤαν τοῦ ἐνδύματος τοῦ Χρυσοστόμου καὶ ἐπὶ τὴν αὔριον ὄχλος πολὺς μετὰ κηρῶν καὶ θυμιαμάτων ἐλθόντες ἤγαγον ἐν τῇ ἁγιωτάτῃ αὐτοῦ καὶ καθολικῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐκάθισαν αὐτὸν ἐπὶ τὸν ὑψηλὸν αὐτοῦ τοῦ κηρύγματος θρόνον. Εἶπεν ἕκαστος εὐχαριστῶν· εὐφραίνου καὶ σὺ θρόνε παμμακάριστε καὶ δέχου τὸ σὸν ἑδραίωμα, δέχου ὃν παρὰ πολλοὺς ᾑρετίσω καὶ ὃν ἀπώλεσας εὑρών, μηκέτι δι' αὐτὸν σκυθρώπαζε στυγνάζων λυπηρά. Ἐχάρη καὶ ἡ ἐκκλησία τοῦτον ἰδοῦσα, εὐφράνθη τὴν ἀγαθὴν

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ἀπολαβοῦσα μερίδα, ἥτις μέχρι τοῦ αἰῶνος οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. Εἶπεν ἀνθομολογουμένη δι' αὐτὸν τῷ θεῷ· μεγαλύνει ἡ δόξα μου τὸν Κύριον ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῶν ἐξουθενισμῶν μου καὶ ἐποίησέ μοι μεγαλεῖα σήμερον ὁ δυνατὸς·ἀποδούς μοι τὸν ἐμὸν νυμφαγωγὸν καὶ τῆς πείρας μου στηριγμόν, τὴν ὑπόληψιν τῶν ἐμῶν ἀξιωμάτων καὶ ἀνάπαυσιν τῶν ἐμῶν κροτάφων, τὸν ὀχετὸν τῶν ἐμῶν μαστῶν καὶ γλυκασμὸν τῶν ἐμῶν χειλέων, τὸ ὕψος τῆς ταπεινοφροσύνης καὶ βάθος τῆς διδασκαλίας, τὸ πλάτος τῆς ἐλεημοσύνης καὶ μῆκος τῆς μετανοίας, τὸν ἄγρυπνον ποιμενάρχην καὶ οὐ μισθωτὸν ποιμένα· ἕως γὰρ οὗτος τὰς ἐμὰς ἐνόμευεν ἀγέλας, οὐκ ἔλειψάν μοι προβάτων πλήθη, ἕως αὐτὸς τὰς ἐμὰς ἠσφαλίζετο μάνδρας, πρόβατον ἐμὸν οὐκ ἐπλανήθη, ἀμνὸς ἐμὸς οὐκ ἐσπαράχθη ἀπὸ λύκου ἐπιβουλῆς, οὔτε μὴν παρὰ κλέπτου καθηρπάγη ψυχοβλαβοῦς αἱρέσεως. Νυχθημερευσάντων τοίνυν ἐν τῇ ἐκκλησίᾳ τῶν λαῶν ἐπὶ τῇ τοῦ λειψάνου δοξολογικῇ τιμῇ, ἕωθεν Πρόκλος ὁ ἐνάρετος ἐπὶ τὴν βασιλικὴν καθίσας διὰ τὴν εὐλογίαν καροῦχαν καὶ τοῖς ἑαυτοῦ κόλποις προσεγγίσας τὸ λείψανον ἐπὶ τὸν ναὸν τῶν Ἀποστόλων λιτανευόμενον διέσωζε πάντων τῶν συνελθόντων ἀπὸ ἀνδρός φημι γυναικός τε καὶ παιδίου ἀνὰ κηρὸν ἕνα λευκὸν βασιλικῇ παροχῇ βεβαστακότων· ἔδει γὰρ τὸν ἅγιον ὡς φωτισμὸν γνώσεως ψυχικῆς καὶ αἰσθητῷ φωτὶ λευχειμονηθῆναι παρὰ παντὸς λαοῦ καὶ πάλιν ἐγκαινισμὸν ἀρετῆς χρηματίσαντα ὡς ἐν ἐγκαινίοις δευτέροις τῷ τούτου στόματι ἐπιστηριχθῆναι τὴν ἐκκλησίαν, ὃς πρὸς τῷ ἀποστολικῷ θαλάμῳ ἐπὶ τὸν ἴδιον ἐνιδρυθεὶς θρόνον κεκίνηκεν ὁραθεὶς παρὰ τῶν ἀξίων τὰ χείλη εἰρηνεύσας πάντας τῷ πανταχῶς ἐμπνέοντι πνεύματι. Καὶ ἐλθὼν ἐπὶ τὴν τῆς ἰδίας προσκομιδῆς λειτουργίαν Πρόκλῳ δανείσας τὴν οἰκείαν φωνὴν, ὡς ὁ βαπτιστὴς Ἰωάννης τὴν προφητικὴν τῇ μητρὶ φωνήν, αὐτὸς τῷ λαῷ προσφέρειν ἐπιστώθη καὶ τεθεὶς ἐπὶ τὴν κοίτην τῆς ταφῆς ἐθερμάνθη ἡ καρδία αὐτοῦ ἐντὸς αὐτοῦ καὶ ἠγαλλιάσατο ἡ σάρξ αὐτοῦ ὡς ζῶσα καὶ ἔμπνους ἐπὶ τὸν ζῶντα θεὸν καὶ εἶπεν· αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. Ἄρας δὲ πρὸς τὸν οὐρανὸν καὶ τὸ τῆς διανοίας ὄμμα εὐχαριστῶ σοί, φησι, Κύριε μου Ἰησοῦ Χριστέ, ὅτι κατηξίωσάς με ἀπαλαβεῖν τὰ ἴδια καὶ ἰδεῖν ἐν τῇ σῇ πίστει πεφυλαγμένα τὰ τέκνα μου, ἅπερ ἐγὼ πολλὰ κοπιάσας ἀποστολικῶς ὠδίνησα ἄχρις οὗ, κατὰ τὸ γεγραμμένον, μορφωθῇς ἐν αὐτοῖς. Ἕως ἤμην ἐγὼ μετ' αὐτῶν, οὐ παρέλειπον τούτοις τὰ περὶ σοῦ διηγούμενος. Ἀλλ' ἐγὼ ἰδοὺ πρός σε ἔρχομαι καὶ τοὺς ἐμούς σοι καταλιμπάνων σοι καὶ τὸ πνεῦμά μου πάλιν παρατίθημι. Ἐχάρησαν πάντες τὸν ἴδιον ἑωρακότες ποιμένα. Ἡνώθησαν οἱ διασχισθέντες γλυκέα σκορπίσαντες δάκρυα· οἶδε γάρ, ὡς τὸ τῆς

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

λύπης ἐπείσακτον, οὕτω καὶ τὸ τῆς χαρᾶς ἀπροσδόκητον τοῖς τῆς ἐπιτυχίας ἐνηδύνεσθαι δάκρυσι. Κηδεύσαντες τοίνυν κατὰ τάξιν τὸ σῶμα κατέθεντο τοῦτο μετ' εὐφροσύνης πορευθέντων τηνικαῦτα καὶ ἀγγέλων ἀοράτως, καθάπερ καὶ ἐπὶ τῷ τοῦ μωσαϊκοῦ σώματος ἐντίμῳ κατὰ τὸ ὄρος ἐνταφιασμῷ. 'Αλλ', ὦ πάτερ εὐδιάγνωστε καὶ ὠφέλιμε, χρυσεπώνυμε καὶ χρυσόστομε, εὔγευστον ψυχῆς βρῶμα, ἡδύποτον χείλεων νάμα, γλυκυτάτη τῶν ἐκκλησιῶν μέλισσα, τράπεζα βίβλων ἱερῶν, νήψεων κρατήρ, ἄρτος λογικός, ἔλαιον ἱλαρύνον σκυθρωπίαν φρονημάτων, λύρα θεοσεβείας, αὐλὸς παραινέσεως, πλοῦτος φιλοπτωχίας, ἀντιφώνημα μετανοίας εἴθε μένειν σε καὶ μὴ ἐκδημῆσαι μέχρι τοῦ νῦν, πλὴν καὶ μετατεθέντα σε παρόντα κεκτήμεθα· ὁ γὰρ λαὸς ὁ κτιζόμενος αἰνεῖν οὐκ ἐκλείψει διὰ σοῦ τὸν θεὸν ὅτι τοὺς πόνους τῶν διδαχῶν σου κεκληρονομήκαμεν. Σὲ τίς οὐ ποθεῖ; Σὲ τίς οὐ τιμᾷ τὸ κατ' ἀξίαν; Πάντες σου χρεῶσται, ἐπειδὴ πάντων οἰκειώσω τὰ πάθη. Ἕλκει ὁ μαγνίτης τὸν σίδηρον καὶ σὺ πρὸς τὰς ἐντολὰς τοῦ θεοῦ τὸν ἄνθρωπον. 'Ανοίγεις ὦτα κωφεύοντα, διακρίνεις τὰ κεκρυμμένα τῆς Γραφῆς, ἔμπλαστρον εἶ πάσης τραυματίας ψυχικῆς· ὅθεν εἰ καὶ ποθητὸς τοῖς ἀνθρώποις ὁ χρυσός, δὸς ἀνθρώπῳ φρονίμῳ χρυσὸν καὶ βίβλον σὴν διδακτικὴν καὶ ἀφήσας τὸν χρυσὸν τοὺς σοὺς περιπτύσσεται λόγους, ὅτι καθ' ἡμέραν ἑαυτῷ θησαυρίζει ὁ ταῖς σαῖς πειθόμενος διδαχαῖς. Τὴν πίστιν ἐπιστήριξον, τὰς ἐκκλησίας ἕνωσον, τὴν ἱερωσύνην καταλάμπρυνον, τὸν βασιλέα περιτείχισον, τὴν οἰκουμένην εἰρήνευσον, τὸν λαόν σου ταῖς σαῖς διαφύλαξον πρεσβείαις· ὁ γὰρ θέλων καὶ μετὰ θάνατον τὴν ὄντως ζῆσαι ζωὴν καὶ τῇ διδασκαλίᾳ σου πείθεται καὶ τὰς σὰς εὐχὰς ἐπιζητεῖ, δι' ὧν ἀπὸ γῆς ἀνυψούμενος συνοικεῖν μετὰ θεοῦ καταξιοῦται, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων 'Αμήν.

Φυλ. 376β—379β.

*Τοῦ αὐτοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ θείου καὶ ἱεροῦ Ιωάννου τοῦ Χρυσοστόμου. Εὐλόγησον πάτερ.*

Τίς τὸν ἄμετρον τῶν ἐγκωμίων ὑετὸν τοῦ ἁγίου καὶ διδασκαλικοῦ πατρὸς ἡμῶν Χρυσοστόμου δυνατὸς ἐξαντλῆσαι καὶ ἰχνηρεύτοις ῥημάτων σταγόσι τὸ πέλαγος τῶν ἀρετῶν αὐτοῦ διαπεράσαι; Μοχθεῖ μὲν πᾶς ὁ τοῦτο κατατολμῶν ἐγχειρῆσαι· καὶ γὰρ τέτρασιν, ὡς εἰπεῖν, βολιστικῶν ἀποτόνοις τὸν βυθὸν τῶν ἐπαίνων αὐτοῦ συγγραφικῶς μεμετρηκότες τὸ ἐπάξιον αὐτῷ δῶρον προσενεγκεῖν διὰ τῶν λόγων οὐ κατελάβομεν. Ἔδοξεν οὖν ἡμῖν καὶ πάλιν παρρησιασθῆναι πρὸς τὸν ἅγιον οὐκ ἀχρονίᾳ τοσοῦτον νικηθέντες,

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

ἀλλὰ πληροφορίαις εὐλόγοις τὸν ὕμνον ἔτι καὶ ἔτι περὶ αὐτοῦ δικαιώσαντες· πᾶσι γὰρ τοῖς ἀρέσασι τῷ θεῷ συγκρίναι τὸν Χρυσόστομον ἐθέμεθα πρόσφορον, ὅπως τὸ ὑπερέχον αὐτοῦ τῆς σοφίας καὶ πολιτείας μέγεθος παντὶ τῷ ἀμφιβάλλοντι περὶ αὐτοῦ τὴν ἀλήθειαν ἀπροσχαρίστως πιστώσωμεν· ὅπου γὰρ σύγκρισις νικᾷ, ἐκεῖ καὶ τῶν ἀκροατῶν ὁ νοῦς ἀσκανδαλίστως τὸ οὖς τοῖς λεγομένοις ἐπιδίδωσι καὶ ὁ ἐγκωμιαστὴς ἐπαληθεύων προθυμότερος εὑρεθήσεται. Πατὴρ πάντων ἀνθρώπων κατὰ σαρκὸς ἡδονὴν καὶ ἀπόταξιν ὁ Ἀδάμ. Ὁ Χρυσόστομος πατὴρ κοσμικὸς κατὰ πνεύματος υἱοθεσίαν. Ἐνὼχ εὐαρεστήσας θεῷ μετετέθη. Ὁ Χρυσόστομος μιμησάμενος αὐτὸν τὸν Χριστὸν καὶ θεὸν ἡμῶν τοῦ εὐαρεστεῖν αὐτῷ πείθει μέχρι τοῦ νῦν πολλοὺς τῶν ἀνθρώπων. Καὶ τίς χρεία τοῖς ἀρχαιοτέροις προσώποις ὑπερσεμνύνειν αὐτὸν καὶ μὴ μᾶλλον οἷς ἡ ἐπαγγελία παρεσχέθη συγκρίνειν αὐτὸν καὶ λέγειν· τὸν μετὰ τὸν Ἀβραὰμ τὴν κοπὴν τῶν βαρβαρικῶν, ὡς εἰπεῖν, αἱρέσεων οἰκογενικῆς φύσεως καταδυναστείαις τροπαιουχήσαντα φοβερῶς· τὸν μετὰ τὸν Ἰσαὰκ θυσιασθῆναι διαφόρως ὑπὲρ Χριστοῦ μὴ ἀντιτείναντα σαρκικῶς· τὸν μετὰ τὸν Ἰακὼβ τὰς χανανικὰς πτερνίσαντα βλασφημίας· τὸν μετὰ τὸν νοητὸν Ἰσραὴλ νοῦν ὁρῶντα θεὸν καὶ κληρονόμον τῆς τῶν ἐπαγγελιῶν γῆς ἑαυτὸν ἀποτελέσαι δυνηθέντα· γῆ γὰρ ὁ ἄνθρωπος καὶ κληρονομία γῆς ἡ τοῦ ἀνθρώπου διὰ τῆς ἐπικαρπίας τῶν ἔργων νοεῖται σωτηρία· τὸν μετὰ τὸν Μελχισεδὲκ δίχα πατρῴου καὶ μητρῴου πειρασμοῦ ἀρχιερέα παρὰ θεοῦ τοῖς ἀνθρώποις προχειρισθέντα, μὴ παρ' ἑαυτοῦ τὴν εἰς τοῦτο λαβόντα τιμήν, ἀλλ' ὑπὸ θεοῦ πρὸς τὴν τοιαύτην κληθέντα προαγωγήν· ὅθεν οὐδὲ παρέλειψεν εἰς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου προσφέρειν καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας καίπερ ὢν υἱὸς φωτός, ἔμαθεν, ἀφ' ὧν ἔπαθε, ταῖς τῶν ἁμαρτωλῶν συνεπιστυγνιᾶν πολιτείαις. Καὶ πρῶτον μὲν ὡς ἐπὶ τοῦ Μελχισιδὲκ ἐν ἀποταγῇ σαρκικῶν γνωρισμάτων καὶ γονικῶν ἀπαρνημάτων εἰρήνης οἶκον τὴν ἑαυτοῦ ψυχὴν ᾠκοδόμησε θεμελιώσας, τουτέστι τὴν κάτω Ἱερουσαλὴμ ἀπαθῶς διακτίσας, καθὼς καὶ ὁ Μελχισεδὲκ τὴν ἀρχαίαν Σαλήμ, τὴν ἑρμηνευομένην εἰρήνην. Δεύτερον ὅτι δικαιοσύνης ἀνυψώθη βασιλεία τὴν ἄνω Ἱερουσαλὴμ εἰς κατοικίαν ἑαυτῷ κτησάμενος πόλιν· ὡς γὰρ τῆς Σαλὴμ τὸ ὄνομα τῆς ἱερατείας καὶ βασιλείας τὸ σύνθετον ἀξίωμα δηλοῖ, οὕτως καὶ ὁ Χρυσόστομος πρὸ μὲν τῆς ἱερωσύνης εἰρηνοποιὸν ἐγένετο πνεῦμα, μετὰ δὲ τὴν ἀρχιερωσύνην δικαιοσύνης ὑπῆρξε στόμα ἀφομοιωθεὶς τῷ υἱῷ τοῦ θεοῦ καὶ αὐτὸς διά τε τὸ ἀνεπίληπτον πρὸς τὴν χρῆσιν καὶ τὸ μὴ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ θεοῦ πρὸς τὸ κατὰ τάξιν τῆς ἀρχιερωσύνης προαχθῆναι πατριαρχικόν, κἂν ἦν ἄν-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

θρωπος ἐκεῖνος ἐκ Σεκούνδου πατρὸς καὶ Ἀνθούσης μητρὸς γεννηθεὶς ὁ Χρυσόστομος, ὑπὲρ ἄνθρωπον ἡ τούτου πολιτεία. Διὸ καὶ αὐτὸς ἀφῆκε πατέρα καὶ μητέρα κάμψας γενεαλογεῖσθαι δι' αὐτῶν ἐν τέκνων διαδοχαῖς, καθὼς ὁ Μελχισεδὲκ ἐκ πατρὸς Ἡρακλᾶ καὶ μητρὸς Ἀσταρὼθ τεχθεὶς ἀπάτωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλογούμενος ὠνομάσθη καὶ εἰς τύπον φυλαχθεὶς τοῦ Χριστοῦ ὑπ' οὐδενὸς τὴν ἱερωσύνην ἐνεχειρίσθη, ὃν τρόπον καὶ ὁ Χριστὸς ἐν οὐρανοῖς μητέρα μὴ ἐσχηκὼς καὶ ἐπὶ γῆς πατέρα μὴ ὑποδείξας ἀγενεαλόγητος ὤφθη καὶ τῆς συνηθείας ἐχούσης ἐξ ἀνθρώπων τοὺς ἱερεῖς τοῦ Ἰσραὴλ προχειρίζεσθαι καὶ γενεαλογουμένης ἀπὸ σειρᾶς, ἄρα γοῦν δικαίως καὶ ὁ Μελχισεδὲκ μὴ γενεαλογούμενος προσηγορεύθη. Τοῦτο γὰρ δηλοῖ κατὰ τάξιν, τουτέστι τὸ μὴ κατὰ προαγωγὴν ἀνθρώπων ἢ διαδοχὴν γένους ἱερατεῦσαι, ἀλλ' ὡς ὅτι περ καθὼς ἐν τῷ ἀγενεαλογήτῳ Μελχισεδὲκ μεμένηκε τὸ ὄνομα τῆς ἀρχιερωσύνης, ὡς γέγραπται, διηνεκῶς, οὕτως καὶ ἐν τῷ Χριστῷ ἡμῶν ἡ ἀρχιερωσύνη λέγεται εἰς τὸν αἰῶνα. Τοίνυν τοῦ Μελχισεδὲκ κατὰ τάξιν καὶ ὁμοίωσιν, εἰρήνην καὶ δικαιοσύνην ὑπερέχει ὁ Χρυσόστομος ὡς οὐ τύπῳ ἀλλ' ἐν ἔργῳ τῆς ἀληθείας τὸ ζωοποιὸν σῶμα καὶ αἷμα ἱερουργήσας τοῦ Χριστοῦ· ὅθεν οὐκ ἀποκνῶ κἀγὼ λέγειν περὶ αὐτοῦ τὸ τοῦ ἀποστόλου θαυμαστικὸν ῥῆμα· θεωρεῖτε πηλίκος οὗτος ὁ Χρυσόστομος ὅτι καὶ μετὰ θάνατον αὐτὸν ὁ Χριστὸς μετέθηκε τιμητικῶς, ὡς καὶ πᾶσα χώρα καὶ πόλις ὑπήντησε δορυφοροῦσα οὐ δεκάτας ὡς καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἀλλὰ πᾶσαν αὐτῷ πίστει τὴν ψυχὴν τοῦ λαοῦ προενηνοχότος, ᾧτινι καὶ τῶν ἐπιγείων ὁ βασιλεὺς καὶ ὁ τηνικαῦτα τῆς ἐκκλησίας προεδρεύων οὐ μετὰ τριακοσίων, ὡς ἐπὶ Ἀβραὰμ οἰκογενῶν, ἀλλὰ μετὰ πλήθους ἀκαταμέτρου ὄχλων συναντήσαντες ὑποστρέφοντι ἀντὶ δεκάτων αὐτῷ τοὺς ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου προσήνεγκαν ὕμνους. Ὕπεστι δέ μοι καὶ τοῦτο θαυμάσαι, πῶς καθάπερ μετὰ χίλια καὶ τριάκοντα ἔτη μετατεθείσης τῆς ἱερωσύνης τοῦ Ἀαρὼν εἰς τὸν Χριστόν, ἤγουν εἰς τὴν ἀναίμακτον θυσίαν, τὴν καὶ διὰ τοῦ Μελχισεδὲκ ἐκτυπωθεῖσαν· μετατιθεμένης γάρ φησι τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται, ἤγουν ὅτι τοῦ Χριστοῦ παραγενομένου ἀρχιερέως τῶν ὄντων καὶ μελλόντων ἔπαυσεν ἡ κατὰ νόμον τοῦ Λευὶ καὶ Ἀαρὼν λατρεία Διὸ καὶ ὁ δεκάτας λαμβάνων διὰ τῶν υἱῶν τοῦ Ἀβραὰμ ἀπεδεκατώθη παρὰ τοῦ Μελχισεδέκ, τουτέστι τοῦ ἐν αὐτῷ προχαρακτηρισθέντος Χριστοῦ. Τὸ γὰρ δέκα στοιχεῖόν ἐστι τὸ ι', τὸ δηλοῦν καὶ γράφον τὸ ὄνομα τοῦ Ἰησοῦ· καλέσουσι γάρ φησι τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὐκ ἀσκόπως ὑπὸ τοῦ Μελχισεδὲκ ἀποδεκατωθῆναι τὸν Ἀβραὰμ τοῦ κυρωθῆναι τὸν λαμβάνοντα καὶ πρὸ τοῦ Ἀβραὰμ θεὸν ὑπάρχειν μυστικῶς καὶ



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

θεὸν τοῦ Ἀβραὰμ μέλλοντα φανεροῦσθαι σαρκικῶς καὶ ὅτι δι' Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμβάνων δεδεκάτωται δῆλον ἐκ τοῦ τέως ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς αὐτοῦ εἶναι τὸν Λευΐ, ὅτε συνήντησεν, ὡς γέγραπται, τῷ Μελχισεδὲκ ὁ Ἀβραάμ. Οὕτως ἀπαραλλάκτως καὶ ἐπὶ τοῦ Χρυσοστόμου πατρὸς ἡμῶν συνέβη πραχθῆναι· καὶ ζῶν γὰρ οὗτος ἐξ Ἀντιοχείας μετακληθεὶς ἠρχιεράτευσεν οἰκονομικῶς καὶ θανὼν ἐν τῇ ἐξορίᾳ μετὰ τριάκοντα καὶ τρεῖς χρόνους εἰς τὸν ἴδιον μετετέθη θρόνον, ὅπως καὶ ἐν τούτῳ τὸ ἀποστολικὸν εἰς αὐτὸν πληρωθῇ λόγιον, τὸ φάσκον· καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ· καὶ γὰρ ὁ Χρυσόστομος ἀποθνήσκων μὲν δεκάτας κέρδους τὰς τῶν ἀνθρώπων προσῆξε τῷ θεῷ ψυχάς, κατὰ δὲ τὴν τῆς κρίσεως ἡμέραν μαρτυρηθήσεται ζήσας ἐν Κυρίῳ καθαρῶς ὡς μὴ κατὰ τὴν τάξιν λοιπὸν τοῦ Μελχισεδέκ, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ γενόμενος ἀρχιερεύς, ὁ μετὰ Μωυσῆν, τὸν ἄνθρωπον τοῦ θεοῦ Μωυσῆς καὶ ὁ Χρυσόστομος οἰκιακὸς τοῦ Χριστοῦ καὶ πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, μᾶλλον δὲ λέγειν ἐν ὅλῃ τῇ οἰκουμένῃ χειροτονηθεὶς ἡγεμὼν καὶ νομοθέτης· ὡς γὰρ ἐκεῖνος καὶ οὗτος τὸν αἰγυπτιακὸν κατ' αὐτοῦ διωγμὸν τῷ κριτῇ τῶν ὅλων ἀπέδοτο τῷ θεῷ, ὁ μετὰ Ἀαρὼν ἐκλεχθεὶς πρὸ γεννήσεως ἱερατεῦσαι τῷ Χριστῷ καὶ ἀντὶ τῆς πυράγρας τοῦ θυμιάματος τὸ ἴδιον τῆς εὐωδίας στόμα μὴ ἀργήσας ἐν τῇ ἐκκλησίᾳ διδασκαλίαν ἐκπέμπειν ὀσφρασίαις, ὁ μετὰ τὸν Ἰησοῦν τοῦ Ναυῆ κληροδοτήσας μὲν τῆς ἀναλογίας τοῦ πνεύματος, τὴν δὲ περιτομὴν τοῦ βαπτίσματος ὁλόκληρον ἐν τοῖς μέλεσι τῶν ἀνθρώπων λόγοις ἀχειροποιήτου καθάρσεως ἐνεργήσας καὶ τῶν ε' καθὼς ὁ Ἰσραὴλ ἀλλοφύλων βασιλέων, τῶν πέντε καὶ ὁ Χρυσόστομος καταστρατηγήσας ἐμπαθῶν αἰσθήσεων, μὴ στήσας ἥλιον ἐν παραινέσει ψυχῶν ὡς ἐκεῖνος, ἀλλὰ πείσας ἀνθρώπους μὴ ἐπιδύνειν αὐτοῖς ἐν παροργισμῷ τὸν ἥλιον. Ὁ μετὰ τὸ Ἠλίαν τὴν ἄδικον καὶ αὐτὸς τῆς Ἰεζάβελ ἐλέγξας παρανομίαν καὶ τὸ Καρμήλιον ὄρος τὴν Κομάναν κτησάμενος πόλιν· τόπον γὰρ δεδωκὼς τῷ κακῷ ὑπεχώρησε τοῦ κακοῦ προσοχθίσματος· ὅθεν καὶ πρὸ τοῦ φθάσαι τὸν διωγμὸν ὡς ἐν ἅρματι πυρὸς καὶ αὐτός, τουτέστι τῇ τοῦ πνεύματος φλογίνῃ καὶ ζεούσῃ πρὸς τὸν θεὸν ἀγάπῃ, πρὸς τὴν τῶν ἀφθάρτων οὐρανοδρόμησε ζωὴν πρὸς τὸν θεὸν ὑφαρπαγείς. Ὁ μετὰ τὸν Δαβὶδ πλείω τὴν ἐκκλησίαν τοῦ θεοῦ ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, διδαχαῖς ποικίλαις καὶ πυκναῖς προσομιλίαις τὸ καθ' ἡμέραν λαμπρύνας, οὐ μέλος καὶ κιθάραν τοῖς ὠσὶ τῶν ἀνθρώπων ἐνηχήσας, ἀλλὰ μέλι καὶ γάλα διδασκαλίας τοῖς πάντων ἐγκαινίσας ἐγκάτοις. Ὁ μετὰ τὸν Σολομῶντα μεῖζον ἐκείνου πλάτος καρδίας καὶ χύμα σοφίας καὶ πλοῦτον παρὰ θεοῦ κομισάμενος· οὐ γὰρ ἕως τινὸς ὡς παρὰ Σολομῶντι, ἀλλὰ μέχρι

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183

παντὸς εὐηρέστησε τῷ θεῷ, οὐκ ἐν τέτρασι βίβλοις παροιμιακῶν φημι καὶ αὐτῶν ἐν τρισὶ χιλιάσι στίχων, ἀλλ' ἐν βιβλιοθήκαις ἀμέτρων καὶ σοφῶν διδασκαλιῶν πάντας τοὺς ἐν κόσμῳ φωτίσας. Πλοῦτος δὲ τῷ Χρυσοστόμῳ οὐχὶ τῆς τραπέζης τοῦ Σολομῶντος ἡ δαψίλεια, οὐχὶ τῆς λοιπῆς ὑπηρεσίας ἡ εὐπορία, οὐχ ἵνα κατὰ τὸ γεγραμμένον ὡς ἕν τι περιβάληται τῶν πολυτίμων, ἀλλ' ἡ μέριμνα τῶν πτωχῶν καὶ ὁ περὶ τούτων χορτασμὸς καὶ τῶν γυμνῶν ἡ περιβολή, οὐχὶ τοῦ κλοιοῦ τῶν φόρων ἡ συντέλεια, ἀλλὰ ὁ παρὰ τοῦ θεοῦ καθ' ἡμέραν εἰσκομιζόμενος αὐτῷ θησαυρός. Ὁ μετὰ τὸν Σαμουὴλ ἐπικαλεσάμενος καὶ αὐτὸς ἀδιαλείπτως τὸν Κύριον οὐκ ἐν στύλῳ νεφέλης, ἀλλὰ στόματι καρδίας συνομιλῶν αὐτῷ κατὰ τὸ γεγραμμένον οὐκ ἦν ὁ Χρυσόστομος ὁ λαλῶν, ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ τὸ λαλοῦν δι' αὐτοῦ. Ἐπεκαλεῖτο δὲ τὸν Κύριον καὶ εἰσήκουεν αὐτῷ σῶσαι τὸν λαὸν αὐτοῦ τὸν χριστιανικὸν καὶ δοῦναι τούτῳ σοφίας γνῶσιν καὶ πόθον εἰς ἀκοὴν ὠτίου τοῦ ποιμαίνεσθαι πάντας ἀσφαλῶς δι' αὐτοῦ. Ὁ μετὰ τὸν Γεδεὼν κριτὴς ἀπροσωπόληπτος καὶ μύστης ἀρρήτων νοημάτων ποιῶν κρῖμα καὶ δικαιοσύνην καὶ τὰ βάθη τοῦ πνεύματος ἀνιμᾶτο ὡσεὶ πόκος τις ἐρίου συμπίνων ὑετόν. Εἶχε δὲ καὶ σιαγόνα καταπολεμοῦσαν τοὺς ἀσυνέτως αὐτῷ μὴ πειθομένους, τὸν χαλινὸν τῶν ἐπωφελῶν ἐλέγχων, δι' οὗ τὰς σιαγόνας τῶν μὴ ἐγγιζόντων ταῖς ἐντολαῖς τοῦ Χριστοῦ καθάπερ κτηνῶν τενοντισμὸν ἤλεγχε τῇ παραινέσει. Ἀλλ' ἐπιλείψει με διηγούμενον ὁ χρόνος περὶ Σήθ, Ἐνώς, Νῶε, Ἰακώβ, Ἰωσὴφ τῶν μεγάλων ἐκείνων ἀνδρῶν καὶ τῶν λοιπῶν τῆς παλαιᾶς Διαθήκης εἶτα καὶ περὶ ἀποστόλων, μαρτύρων, ὁσίων καὶ δικαίων· τῶν μὲν γὰρ ζηλωτὴς ὁ Χρυσόστομος, τῶν δὲ πρωτεύων, τῶν μὲν γὰρ ἴσος, τῶν δὲ καὶ ἐφάμιλλος γεγονὼς τὸν στέφανον τῆς ἀποδοχῆς δικαιοσύνης ἀπολαύει δωρεὰν διὰ χειρὸς Ἰησοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Κ. Ι. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 16:58:25 EEST - 3.145.55.183